Universidad de Deusto
Biblioteca

AESOPI
Fabulae

Graecè.

[library stamp]

Universidad de Deusto
Biblioteca

IHS
BIBLIOTECA DE LOYOLA.
Sala 1
Estante 40
Plúteo 2

33,5

Universidad de Deusto
Biblioteca

# ΑΙΣΩΠΟΥ

## ΦΡΥΓΟΣ ΜΥΘΟΙ.

## AESOPI PHRYGIS

FABVLAE, GRAECE, VNA CVM illustrium Gnomicorum aliquot sententijs, tam soluta quàm pedestri oratione conscriptis, & Plutarchi libello περὶ παίδων ἀγωγῆς.

Omnia in Scholarum, & Græcæ linguæ studiosorum usum collecta, & in publicum edita.

ABRAHAMI LOESCHERI Elegia, qua editionis huius ratio exponitur.

BASILEAE, PER IOannem Heruagium.

INSTITUTO LIBRE MUNICIPAL DE SAN SEBASTIAN

IHS

Ex libris Joachimi Garisuain de Leta.

3

267
78
90
4205

Universidad de Deusto Biblioteca

## EORUM QUAE HOC LIBRO continentur, Catalogus.


Ex Aphthonij Progymnasmatis, de fabula.
Eiusdem de formicis & cicadis, fabula.
Ex Philostrati imaginibus, de fabula.
Aesopi uita, cum fabulis, per Maximum Planudem.
Gabriæ Græci fabellæ XLIII. tetrametris Iambis conscriptæ.
Illustrium uirorum sententiæ quædam philosophicæ.
Poetarum Senarij gnomici.
Sententiæ ex diuersis poetis, oratoribus, & philosophis, per locos communes uirtutum & uitiorum distinctæ.
Plutarchi de puerorum educatione libellus.


BIBLIOTECA COLLEGII LOIOLEI SOCIETATIS JESU · IHS

## ABRAHAMI LOESCHERI IN FAbulas Aesopi ad puerum Græcæ linguæ studiosum Elegia.

QVI geris in tenero teneram quoque corpore mentem,
Ad te pauca libet mittere uerba, puer.
Ad te pauca libet posito perscribere fastu,
Qui cura uigili discere Græca studes.
Qui sequeris Graios patria dulcedine fontes,
Et magnas alacri pectore quæris opes.
O' quàm præclaro puerilia tempora cursu
Transigis: ætatem laus decet ista tuam.
Quàm petis illustres insigni Marte triumphos:
Perge, nec officium desere, uictor eris.
Perge salutiferos, sic res est, ferre labores,
Ingenio uerum res dabit ista decus.
Disce, quod in promptu est, Graiæ primordia linguæ:
Perge, nec officium desere, uictor eris.
Semina uirtutum, ueræq; insignia laudis
Accipies, si te gratia tanta iuuat.
Mitia prudentis cernes moderamina uitæ,
Tu quoq; iam uita cultior esse uoles.
Pectora mansuescent, ruditas natiua recedet,
Et mens ad rerum munia maior erit.
Inclyta, nil fingo, ueterum monumenta uidebis:
Quo fuerint, disces, secula prisca statu.
Et ne plura loquar, si græca uolumina noris,
Doctrinæ titulum quo tuearis, erit.



BIBLIOTECA COLLEGII LOIOLEI SOCIETATIS JESU · IHS

Universidad de Deusto
Biblioteca

## AD LECTOREM

*Hic iter ad Musas, & amœna cacumina Pindi,*
*Hic iter ad Phœbi templa sonora patet.*
*Sic igitur Graiæ cum tot sint munera linguæ,*
*Quis tandem Graio non uelit ore loqui?*
*Quis non cum reliquis cupiat coniungere Musis,*
*Id quod præcipuæ uim rationis habet?*
*Cedite diuitiæ, temeraria cede uoluptas:*
*Plus hic, mortales quod iuuet, esse potest.*
*Mollia conquirant alij, preciosa sequantur,*
*Pactolus quicquid, quicquid & Hermus habet.*
*Tu puer ingenuas perdisce fideliter artes,*
*Quas dat inexhaustis Græcia docta libris.*
*Perlege mellifluæ sinuosa uolumina linguæ,*
*Et dices, Quanta his gratia rebus inest?*
*Sed quia non fas est, primos cumulare labores,*
*Nec res incerto discitur ulla gradu:*
*Ecce datur Phrygij sapientia uera magistri,*
*Ecce datur lepidis fabula mixta iocis.*
*Quid tamen hoc prodest? Graias hinc discere uoces,*
*Et quæ sint uitæ munera, scire potes.*
*Hunc igitur prima capias ætate libellum,*
*Quem bene si noris, pòst grauiora petes.*
*Quàm præclara monet? quibus est uirtutibus auctus?*
*Incertas rerum qua docet arte uices?*
*Qualia conspicuis tradit simulacra figuris?*
*Qua pecus alloquitur conditione pecus?*
*Tu quoq; dum puer es, nulla dum lege uagaris,*
*Dum laxas animi libera frena tui:*
*Bruta refers, nil mente sapis, nil arte gubernas,*
*Et ratio cæca nocte sepulta iacet.*
*At simul hirsutos cernis memorare leones,*
*Quid deceat quauis conditione sequi:*



## ELEGIA.

*Cum trepidas audis pulcherrima dicere uulpes,*
*Blandaq; terribilem cum monet agna lupum:*
*Ecquid ab ingenio, priscoq; recedis ab usu?*
*Non cupis imbelles uincere mente feras?*
*Cumq; hæ uirtutum recitent præconia uerbis,*
*An non tu factis æmulus esse studes?*
*Ergo age, de Phrygio preciosa monilia cultu*
*Sume, nec optatas respue mentis opes.*
*Accipe purpureas (quis enim uetat?) accipe uestes:*
*Hoc animi decus est, cætera laude carent.*
*Disce salutaris quæ sint præcepta libelli:*
*Multa, sed innocuis moribus apta leges.*
*Perge, sed ut pergas doctis incumbere chartis,*
*Auctior Aesopi traditur ecce liber.*
*Traditur Heruagij studio, qui plurima tentat,*
*Consulat ut docto, doctus & ipse, gregi.*
*Aspice clarorum diuersa poemata uatum,*
*Perlege in assuetos uerba coacta pedes.*
*Aspice magniloqui monumenta uenusta Plutarchi,*
*E quibus, ut noris, commoda multa feres.*
*Hæc tibi, præsidij ne quid pro tempore desit,*
*Ars dedit excultis Heruagiana typis.*
*Sed cur Ascræi sunt carmina dempta poetæ?*
*Aut cur hac Siculus parte Theognis abest?*
*Ista scias alijs excusa poemata libris:*
*Nunc ea quæ sors dat, suscipe, magna dedit.*
*Viue puer, studijsq; faue: sic præmia laudum,*
*Sic decus æternum uita caduca feret.*

FINIS.

## ΕΚ ΤΩΝ ΑΦΘΟΝΙΟΥ ΣΟΦΙΣΤΟΥ προγυμνασμάτων.

Ὁ μῦθος ποιητῶν μὲν προῆλθε, γεγένηται δὲ καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεως. ἔστι δὲ μῦθος, λόγος ψευδής, εἰκονίζων ἀλήθειαν. καλεῖται δὲ συβαριτικός, καὶ κίλιξ, καὶ κύπριος, πρὸς τοὺς εὑρόντας μεταθεὶς τὰ ὀνόματα. νικᾷ δὲ μᾶλλον αἰσώπειος λέγεσθαι, διὰ τὸ τὸν αἴσωπον ἄριστα πάντων συγγράψαι τοὺς μύθους. τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ μικτόν. καὶ λογικὸν μέν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασται. ἠθικὸν δέ, τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον. μικτὸν δέ, τὸ ἐξ ἀμφοτέρων, ἀλόγου καὶ λογικοῦ. τὴν δὲ παραίνεσιν, δι' ἣν ὁ μῦθος τέτακται, προτάττων μὲν, ὀνομάσεις προμύθιον, ἐπιμύθιον δὲ τελευταῖον ἐπενεγκών.

### ΜΥΘΟΣ Ὁ ΤΩΝ ΜΥΡΜΗΚΩΝ, καὶ τῶν τεττίγων, προτρέπων τοὺς νέους εἰς πόνους.

Θέρους ἦν ἀκμή, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει, καὶ συλλέγειν καρπούς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι. χειμῶνος δὲ ἐπιγενομένου, μύρμηκες μὲν οἷς ἐπόνουν ἐτρέφοντο, τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν. οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα, παρὰ τὸ γῆρας κακοπραγεῖ.

## ΕΚ ΤΩΝ ΦΙΛΟΣΤΡΑΤΟΥ εἰκόνων.

### ΜΥΘΟΙ.

Φοιτῶσιν οἱ μῦθοι παρὰ τὸν αἴσωπον, ἀγαπῶντες αὐτόν, ὅτι αὐτῶν ἐπιμελεῖται. ἐμέλησε μὲν γὰρ καὶ ὁμήρῳ μύθου, καὶ ἡσιόδῳ. ἔτι δὲ καὶ ἀρχιλόχῳ πρὸς λυκάμβην. ἀλλ' αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται, καὶ λόγου τοῖς θηρίοις μεταδέδωκε, λόγου ἕνεκα. πλεονεξίαν τε γὰρ ἐπικόπτει, καὶ ὕβριν ἐλαύνει, καὶ ἀπάτην. καὶ ταῦτα λέων τις αὐτῷ ὑποκρίνεται, καὶ ἀλώπηξ, καὶ ἵππος νὴ δία, καὶ οὐδὲ ἡ χελώνη ἄφωνος, ὑφ' ὧν τὰ παιδία μαθηταὶ γίνονται τῶν τοῦ βίου πραγμάτων. εὐδοκιμοῦντες οὖν οἱ μῦθοι διὰ τὸν αἴσωπον, φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ, ταινίαις αὐτὸν ἀναδήσοντες, καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. ὁ δὲ οἶμαί τινα ὑφαίνει μῦθον. τὸ γὰρ μειδίαμα τοῦ προσώπου, καὶ οἱ ὀφθαλμοὶ κατὰ τῆς γῆς ἑστῶτες, τοῦτο δηλοῦσιν. οἶδεν ὁ ζωγράφος, ὅτι αἱ τῶν μύθων φροντίδες, ἀνειμένης τῆς ψυχῆς δέονται. φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν μύθων σώματα. θηρία γὰρ συμβάλλουσα ἀνθρώποις, περιίστησι χορὸν περὶ αἰσώπῳ, ἀπὸ τῆς ἐκείνου σκηνῆς συμπλάσασα. κορυφαία δὲ τοῦ χοροῦ ἡ ἀλώπηξ γέγραπται. χρῆται γὰρ αὐτῇ ὁ αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ δάῳ.

ΤΕΛΟΣ.

Universidad de Deusto
Biblioteca



# ΑΙΣΩΠΟΥ ΤΟΥ ΜΥΘΟΠΟΙΟΥ ΒΙΟΣ, ΜΑΞΙΜΩ ΤΩ πλανούδῃ συγγραφείς.

Πραγμάτων φύσιν τῶν ἐν ἀνθρώποις ἠκρίβωσαν μὲν καὶ ἄλλοι, καὶ τοῖς μετ' αὐτοὺς παρέδωκαν φέροντες. αἴσωπος δὲ δοκεῖ μὴ πόρρω θειοτέρας ἐπιπνοίας τῆς ἠθικῆς διδασκαλίας ἁψάμενος, πολλῷ τῶν ὑπὲρ μέτρων τοὺς πολλοὺς αὐτῶν παρελάσαι. καὶ γὰρ οὔτε ἀποφαινόμενος, οὔτε συλλογιζόμενος, οὔτε μὴν ἐξ ἱστορίας, ἣν ὁ πρὸ τῆς κατ' αὐτὸν ἡλικίας ἤνεγκε χρόνος, τὴν νουθεσίαν ἐπιτιθέμενος· ἀλλὰ μύθοις τὰ πάντα παιδοτριβῶν, οὕτω τὰς τῶν ἀκροωμένων αἱρεῖ ψυχὰς, ὡς αἰσχύνεσθαι τοὺς λογικοὺς ποιεῖν, ἢ φρονεῖν, ἃ μήτ' ὄρνιθες, μήτ' ἀλώπεκες· καὶ αὖ πάλιν μὴ προσέχειν ἐκείνοις, οἷς πολλὰ τῶν ἀλόγων ἐν καιρῷ νουνεχῶς προσεσχηκότα μυθεύεται. ἐξ ὧν μὲν κινδύνους ἐπηρμένους αὐτοῖς διέδρα, ἃ δὲ μεγίστης ἐν τοῖς καιρίοις τῆς ὠφελείας ἔτυχεν. οὗτος τοίνυν ὁ τὸν κατ' αὐτὸν βίον φιλοσόφου πολιτείας εἰκόνα προθέμενος, καὶ ἔργοις μᾶλλον, ἢ λόγοις φιλοσοφήσας, τὸ μὲν γένος ἐξ ἀμορίου τῆς φρυγίας κατῆγε τῆς μεγάλης ἐπίκλησιν, τὴν δὲ τύχην γέγονε δοῦλος. ἐφ' ᾧ καὶ σφόδρα μοι δοκεῖ τὸ τοῦ πλάτωνος ἐν γοργίᾳ καλῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι. ὡς τὰ πολλὰ γοῦν ταῦτά φησιν ἐναντία ἀλλήλοις ἐστὶν, ἥ τε φύσις, καὶ ὁ νόμος. αἰσώπου γὰρ τὴν ψυχὴν ἡ μὲν φύσις ἐλευθέραν ἀπέδωκεν, ὁ δὲ τῶν ἀνθρώπων νόμος

Universidad de Deusto Biblioteca



γνάθων αὐτοῦ παραφέρειν. ἐπεὶ ἔφθασαν δὲ πιόντες, καὶ τὸ χλιαρὸν ὕδωρ ἐκεῖνο ναυτίαν τοῖς πεπωκόσι παραχρῆμα ἐπενεγκόν, αὐτομάτην παρέσχε τὴν ὀπώραν ἀναδοθῆναι. τότε τοίνυν πρὸ ὀφθαλμῶν πεσόντος τοῦ τε κακουργήματος τῶν οἰκετῶν, καὶ τῆς συκοφαντίας, ὁ μὲν δεσπότης ἐκέλευσεν αὐτοὺς γυμνωθέντας μαστίζεσθαι. οἱ δ' ἐπέγνωσαν σαφῶς κατὰ τὸν εἰπόντα, ὡς ὅς τις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτὸς λέληθε τοῦ κακοῦ ἀρχιτεκτονῶν. τῇ δ' ἐπιούσῃ, τοῦ μὲν δεσπότου εἰς ἄστυ ἐπαναζεύξαντος, τοῦ δ' αἰσώπου σκάπτοντος ἢ προσετάχθη, ἱερεῖς τῆς ἀρτέμιδος, εἴτ' ἄλλοι τινὲς ἄνθρωποι τῆς ὁδοῦ πλανηθέντες, καὶ τῷ αἰσώπῳ περιτυχόντες, προὐτρέποντο πρὸς διὸς ξενίου τὸν ἄνδρα, τὴν εἰς ἄστυ φέρουσαν αὐτοῖς ὑποδεῖξαι. ὁ δ' ὑπὸ σκιὰν δένδρου τοὺς ἄνδρας ἀπαγαγὼν πρότερον, καὶ λιτὸν παραθέμενος δεῖπνον, εἶτα καὶ ἡγησάμενος αὐτοῖς, εἰς ἣν ἐζήτουν ὁδὸν εἰσήνεγκεν. οἱ μὲν οὖν τοῦτο μὲν ἐπὶ τῇ ξενίᾳ, τοῦτο δὲ καὶ ἐπὶ τῇ ὁδηγίᾳ διαφερόντως τοῦ ἀνδρὸς ἐξαρτηθέντες, τάς τε χεῖρας εἰς οὐρανὸν ἦραν, καὶ εὐχῇ τὸν εὐεργέτην ἠμείψαντο. αἴσωπος δ' ὑποστρέψας, καὶ εἰς ὕπνον καταπεσών, ὑπό τε τοῦ συνεχοῦς πόνου καὶ καύματος, ἔδοξεν ἰδεῖν τὴν τύχην ἐπιστᾶσαν αὐτῷ, καὶ λύσιν τῆς γλώττης, καὶ λόγου δρόμον, καὶ σοφίαν τὴν τῶν μύθων χαριζομένην. εὐθὺς οὖν διυπνισθείς, φησί, βαβαὶ πῶς ἡδέως κεκοίμημαι. ἀλλὰ καὶ καλὸν ὄνειρον ἰδεῖν ἔδοξα. καὶ ἰδοὺ ἀκωλύτως λαλῶ, βοῦς, ὄνος, δίκελλα. νὴ τοὺς θεοὺς συνῆκα πόθεν μοι τἀγαθὸν προσεγένετο. τοῦτο εὐσεβήσας γὰρ εἰς τοὺς ξένους, ἀντιλαμβανομένου τοῦ κρείττονος ἔτυχον. ἄρ' οὖν τὸ εὖ ποιεῖν, ἀγαθῶν ἐστι πλῆρες ἐλπίδων.

Η. quemadmodum

tenuez bel frugalis



ἐλπίδων. οὕτω μὲν οὖν αἴσωπος ὑπερησθεὶς τῷ πράγματι, πάλιν ἤρξατο σκάπτειν. τοῦ δ' ἐφεστηκότος τῷ ἀγρῷ (ζηνᾶς ἦν αὐτῷ τοὔνομα) πρὸς τοὺς ἐργαζομένους ἐλθόντος, καὶ τούτων ἕνα, ἐπειδὴ μικρὸν ἐσφάλη τοῦ ἔργου, τῇ ῥάβδῳ πατάξαντος, αἴσωπος παραχρῆμα ἀνέκραγεν, ἄνθρωπε, τί τὸν μηδὲν ἠδικηκότα οὕτως αἰκίζῃ, καὶ πᾶσιν εἰκῇ πληγὰς ἐμφορεῖς δι' ἡμέρας; πάντως ἀναγγελῶ ταῦτα τῷ κεκτημένῳ. ζηνᾶς δὲ ταῦτα τοῦ αἰσώπου ἀκούσας, ἐξεπλάγη τε οὐ μέτρως, καὶ πρὸς ἑαυτὸν εἶπεν· αἴσωπος λαλεῖν ἀρξάμενος, οὐδὲν ἐμὸν ὄφελος ἔσται. φθάσας τοίνυν αὐτὸς κατηγορήσω αὐτοῦ ἐπὶ τοῦ δεσπότου, πρὶν αὐτὸς τοῦτ' αὐτὸς δράσῃ, καί με ὁ δεσπότης τῆς ἐπιτροπῆς παραλύσῃ. ταῦτ' εἰπών, εὐθὺ τῆς πόλεως πρὸς τὸν δεσπότην ἤλαυνε. καὶ δὴ σὺν θορύβῳ προσελθών, χαῖρε, φησί, δέσποτα. ὁ δέ, τί τεθορυβημένος πάρει, φησί. καὶ ὁ ζηνᾶς, χρῆμά τι τεράστιον ἐν τῷ ἀγρῷ συνέβη. καὶ ὁ δεσπότης, ἦπου τι δένδρον παρὰ καιρὸν καρπὸν ἐξήνεγκεν; ἢ τῶν κτηνῶν τι παρὰ φύσιν ἐγέννησεν; καὶ ὅς, οὐχ οὕτως. ἀλλ' αἴσωπος ἄναυδος τὸ πρότερον ὤν, νυνὶ λαλεῖν ἤρξατο. καὶ ὁ δεσπότης· οὕτω σοι μηδὲν τῶν ἀγαθῶν γένοιτο, τοῦτο νομίζοντι τέρας εἶναι. ὁ δέ, καὶ μάλα, φησίν. ἃ μὲν γὰρ εἰς ἐμὲ παρύβρισεν, ἑκὼν παρίημι δέσποτα· εἰς δὲ σέ, καὶ θεούς, οὐ φορητὰ βλασφημεῖ. ἐπὶ τούτοις ὀργῇ ληφθεὶς ὁ δεσπότης, τῷ ζηνᾷ φησιν· ἰδού, σοι παραδέδοται αἴσωπος. ἀπόδου, δώρησαι, ὃ βούλει ἐπ' αὐτῷ ποίησον. τοῦ δὲ ζηνᾶ ἐπ' αὐτῷ γενόμενον παραλαβόντος τὸν αἴσωπον, καὶ τὴν κατ' αὐτοῦ δεσποτείαν αὐτῷ ἀναγγείλαντος, ἐκεῖνος ὅ, τι δή ποτε βουλομένῳ σοί ἐστί φησιν ἐργάσαι.

Universidad de Deusto
Biblioteca



ἐπεὶ δὲ δή τινα τύχῃ ἀνδρός τινος κτήνη ζητοῦντος πρίασθαι, καὶ διὰ ταῦτα εἰς ἀγρὸν διιόντος ἐκεῖνον, καὶ τὸν Ζηνᾶν ἐρομένου, ἐκεῖνος θρέμμα μὲν, οὐκ ἔστι μοί φησιν, ἀποδόσθαι· σωμάτιον δὲ ἄρρεν, ὅπερ εἰ θέλεις ὠνήσασθαι, πάρεστι. τοῦ δὲ ἐμπόρου φήσαντος ὑποδειχθῆναι αὐτῷ τὸ σωμάτιον, καὶ τοῦ Ζηνᾶ τὸν Αἴσωπον μεταπεμψαμένου, ὁ ἔμπορος ἰδὼν αὐτὸν, καὶ ἀνακαγχάσας, πόθεν σοί, φησι πρὸς τὸν Ζηνᾶν, ἥδε ἡ χύτρα; πότερον στέλεχός ἐστι δένδρου, ἢ ἄνθρωπος; οὗτος εἰ μὴ φωνὴν εἶχεν, οὐδὲν ἂν ἔδει μὴ οὐχὶ δοκεῖν ἀσκοκήλη, ἵνα τί μοι τὴν πορείαν διέκοψας τουτὶ τοῦ καθάρματος ἕνεκα. ταῦτ' εἰπὼν, ἀπῄει τὴν ἑαυτοῦ ὁδόν. ὁ δ' Αἴσωπος μεταδιώξας αὐτὸν, μεῖνον, φησιν. ὁ δὲ μεταστραφεὶς, ἄπιθι, φησιν, ἀπ' ἐμοῦ ῥυπαρώτατε κύων. καὶ ὁ Αἴσωπος, εἰπέ μοι, τίνος ἕνεκεν δεῦρο ἐλήλυθας; καὶ ὁ ἔμπορος, κάθαρμα, ἵνα τι χρηστὸν πρίωμαι. σοῦ δὲ ἀχρήστου καὶ σαπροῦ ὄντος, οὐ χρῄζω. καὶ ὁ Αἴσωπος, ὤνησαί με, καὶ εἴ τις ἐστὶ πίστις, πολλά σε ὠφελῆσαι οἷός τ' εἰμί. καὶ ὅς, τί δ' ἄν σου ὀναίμην, συγκήματος ὄντος αὐτόχρημα; καὶ ὁ Αἴσωπος, οὐ πάρεστί σοι παιδία οἴκοι ἀτακτοῦντα, καὶ κλαίοντα; τούτοις ἐπίστησόν με παιδαγωγόν, καὶ πάντως αὐτοῖς ἀντὶ μορμοῦς ἔσομαι. γελάσας οὖν ἐπὶ τούτῳ ὁ ἔμπορος, φησὶ τῷ Ζηνᾷ· πόσου τὸ κακὸν τοῦτο πωλεῖς ἀγγεῖον; ὁ δὲ τριῶν φησιν ὀβολῶν. ὁ δ' ἔμπορος αὐτίκα τοὺς τρεῖς ὀβολοὺς κατεβάλλετο λέγων, οὐδὲν κατεθέμην, καὶ οὐδὲν ἐπριάμην. ὁ δὲ συνθέντων τοιγαροῦν, καὶ ἀφικομένων αὐτῶν οἴκαδε, παιδάρια δύο ἔτι ὑπὸ μητρὶ τελοῦντα, τὸν Αἴσωπον ἰδόντα, καὶ συγχυθέντα, ἀνέκραξε. καὶ ὁ Αἴσωπος εὐθὺς τῷ ἐμπόρῳ φησὶν, ἔχεις

: σωμάτιον // vn esclavo.
· ῥασκοκήλη // ἀσκός· est venter. et κήλη· est // hernia ut pla // na· 9.
μορμώ· οῦς· // larva· seu // mulier defor // mis olim· qua // territabant // pueros· hoc est // El coco· ut // pla· 54·





ἔχεις μου τῆς ἐπαγγελίας ἀπόδειξιν. ὁ δὲ γελάσας εἰσελθών φησιν, ἄσπασαι τοὺς συνδούλους σου. τὸν δὲ εἰσελθόντα καὶ ἀσπασάμενον ἰδόντες ἐκεῖνοι, τί ποτε ἄρα κακὸν τῷ ἡμῶν δεσπότῃ φασὶ συμβέβηκεν, ὅτι σωμάτιον αἰσχρὸν οὕτως ἐπρίατο; ἀλλ' ὡς ἔοικεν, ἀντὶ βασκανίου τοῦτο τῆς οἰκίας ὠνήσατο. μετὰ δ' οὐ πολὺ καὶ ὁ ἔμπορος εἰσελθὼν, τὰ πρὸς ὁδὸν εὐτρεπισθῆναι τοῖς δούλοις ἐπέσκηψε· μέλλειν γὰρ τῇ ἐπιούσῃ εἰς Ἀσίαν πορεύεσθαι. οἱ μὲν οὖν αὐτίκα τὰ σκεύη διεμερίζοντο. ὁ δ' Αἴσωπος ἐδεῖτο τοῦ κουφοτάτου τῶν φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ νεωνήτῳ, καὶ μήπω πρὸς τὰς τοιαύτας ὑπουργίας γεγυμνασμένῳ. τῶν δὲ καὶ εἰ μηδὲν ἆραι βούληται συγγνώμην παρεχομένων, ἐκεῖνος οὐ δεῖν ἔλεγε πάντων κοπιώντων, αὐτὸν μόνον ἀσυντελῆ τυγχάνειν. τῶν δὲ ὅπερ ἂν ἆραι βούληται ἐπιτρεπόντων, δεῦρο κἀκεῖσε περιβλεψάμενος, καὶ σκεύη ἀθροίσας διάφορα, σάκκους, καὶ στρώματα καὶ γυργάθους, ἕνα γύργαθον ἄρτων πεπληρωμένον, ὃν δύο βαστάζειν ἔμελλον, αὐτῷ ἐπιτεθῆναι κελεύει. οἱ δὲ γελάσαντες, καὶ μηδὲν εἶναι μωρότερον τοῦ χυδαίου τούτου καθάρματος φάμενοι, ὃς μικρῷ μὲν ἔμπροσθεν τὸ κουφότατον ἐδεῖτο ἆραι τῶν φορτίων, νῦν δὲ τὸ πάντων βαρύτατον εἵλετο· χρῆναι μέντοι τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶσαι, ὑπολαβόντες τὸν γύργαθον, ἐπιτιθέασι τῷ Αἰσώπῳ. ὁ δὲ κατὰ τῶν ὤμων τὸ φορτίον ἀπηχθισμένος, δεῦρο κἀκεῖσε διεκλονεῖτο. τὸν δὲ ἰδὼν ὁ ἔμπορος, ἀπεθαύμασεν, καὶ φησὶν, Αἴσωπος εἰς τὸ πονεῖν πρόθυμος ὢν, ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε. κτήνους γὰρ φόρτον ἤρατο. ἐπεὶ δὲ ὥρας οὔσης

χυδαῖος· // vilis vulgaris // sed apud vete // res. sonabat // abundans· in // bonas partem // sabat·:–

Universidad de Deusto Biblioteca



ἀρίστου κατέλυσαν, Αἴσωπος κελευσθεὶς ἀρτοδοτῆσαι, ἡμιδεᾶ τὸν γύργαθον πολλῶν φαγόντων ἐποίησεν. ὅθεν καὶ μετὰ τὸ ἄριστον κουφοτέρου τοῦ φορτίου γενομένου, προθυμότερον ὥδευε. καὶ δὴ τῆς ἑσπέρας οὗ κατήχθησαν πάλιν ἀρτοδοτήσας, τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντάπασιν ἐπὶ τῶν ὤμων ἀνέχων τὸν γύργαθον, πρῶτος ἁπάντων ᾔει, ὡς καὶ τοῖς συνδούλοις προτρέχοντα τοῦτον ὁρῶσιν ἀμφίβολα γίνεσθαι· πότερον ὁ σαπρὸς ἐστὶν Αἴσωπος, ἢ τίς ἕτερος. καὶ καταμαθοῦσιν ἐκεῖνον εἶναι, θαυμάζειν ὅπως τὸ μεμελανωμένον ἀνθρώπιον, νουνεχέστερα πάντων ἔπραξε τοὺς ῥᾳδίως δαπανωμένους ἄρτους ἀράμενον, ἐκείνων τὰ στρώματα καὶ τὰ λοιπὰ τῶν σκευῶν ἐπιφορτισαμένων, ἃ μὴ φύσιν εἴλαχεν οὕτω δαπανᾶσθαι. ὁ μὲν οὖν ἔμπορος εἰς τὴν Ἔφεσον γενόμενος, τὰ μὲν ἄλλα τῶν ἀνδραπόδων σὺν κέρδει ἀπέδοτο. ὑπελείφθη δ' αὐτῷ τρία, γραμματικός, ψάλτης, καὶ ὁ Αἴσωπος. τῶν δέ τις αὐτῷ συνήθων συμβουλεύσας εἰς Σάμον ἀπᾶραι, ὡς ἐκεῖ δὴ σὺν μείζονι κέρδει ἀπεμπολήσοντι τὰ σώματα, πείθει. καὶ ὁ ἔμπορος ἐπιβὰς τῆς Σάμου, τὸν μὲν γραμματικὸν σὺν τῷ ψάλτῃ καινὰς στολὰς ἀμφιέσας, ἵστησιν ἄμφω ἐπὶ τοῦ πρατηρίου. τὸν δ' Αἴσωπον, ἐπεὶ μηδαμόθεν εἶχε κοσμῆσαι, ὅλον ὄντα ἁμάρτημα, ἐσθῆτα σάκκου τούτῳ περικαθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς καὶ τοὺς ὁρῶντας ἐξίστασθαι λέγοντας, πόθεν τοῦτο τὸ βδέλυγμα, ὃ καὶ τοὺς ἄλλους ἀφανίζον; Αἴσωπος δέ, καίπερ ὑπὸ πολλῶν σκωπτόμενος, ἵστατο μέν τοι χλμηρὰ πρὸς αὐτοὺς ἀτενίζων. Ξάνθος δὲ ὁ φιλόσοφος εἷς τῶν ἐνοικούντων ὢν τῇ Σάμῳ, προελθὼν εἰς τὴν ἀγοράν, καὶ

θεασά-

σάμος· est // Insula· vt pla· 55· — feria· // o placa // publica· — Xanthus· el amo de esopo bivia en la ysla de Samo·



θεασάμενος τοὺς μὲν δύο παῖδας σὺν εὐπρεπείᾳ παρεσταμένους, μέσον δὲ τούτων τὸν Αἴσωπον, ἠγάσατο τὴν τοῦ ἐμπόρου ἐπίνοιαν, ὅπως τὸν αἰσχρὸν ἐν τῷ μεταξὺ τέταχεν, ὡς τῇ παραθέσει τοῦ δυσειδοῦς, καλλίους ἐκείνους τοὺς νεανίας φανῆναι. ἐγγυτέρω δ' ἐπιστάς, ἐπύθετο τοῦ ψάλτου, πόθεν ἂν εἴη. καὶ ὅς, Καππαδόκης. καὶ ὁ Ξάνθος, τί οὖν οἶδας ποιεῖν; ὁ δέ, πάντα. καὶ ἐπὶ τούτοις Αἴσωπος ἐξεγέλασε. τῶν δὲ σχολαστικῶν, οἳ τῷ Ξάνθῳ συνῆσαν, ὡς εἶδον αὐτὸν γελάσαντα, καὶ παραφήναντα τοὺς ὀδόντας, ἐξαίφνης καί τι τέρας ὁρᾶν δοξάντων, καὶ τοῦ μέν, ἥπου κήλη ἐστὶν ὀδόντας ἔχουσα λέγοντος· τοῦ δέ, τί ποτε ἄρα ἰδὼν ἐγέλασε; τοῦ δ' ὡς οὐκ ἐγέλασεν, ἀλλ' ἐρρίγωσε. πάντων δὲ βουλομένων γνῶναι τίς ποτε ἦν ὁ γέλως, εἷς τις αὐτῶν προσελθὼν τῷ Αἰσώπῳ, φησίν· ὅτου χάριν ἐγέλασας; καὶ ὅς, ἀποχώρει θαλάττιον πρόβατον. τοῦ δὲ ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ λόγῳ, καὶ τοῦ εὐθέως ἀναχωρήσαντος, ὁ Ξάνθος τῷ ἐμπόρῳ φησί, πόσου τιμήματος ὁ ψάλτης; τοῦ δέ, χιλίων ὀβολῶν, ἀποκριναμένου, πρὸς τὸν ἕτερον ἦλθεν, ὑπερβάλλον ἀκούσας τὸ τίμημα. καὶ μέν τοι καὶ τοῦτον ἐρομένου τοῦ φιλοσόφου, πόθεν ἂν εἴη, καὶ ἀκούσαντος ὅτι Λυδός· καὶ ἐπανερομένου, τί οὖν οἶδας ποιεῖν; κἀκείνου φαμένου πάντα, πάλιν ἐγέλασεν Αἴσωπος. τῶν σχολαστικῶν δέ τινος ἀπορουμένου, τί δή ποτε οὗτος πρὸς πάντας γελᾷ; ἕτερος πρὸς αὐτὸν εἶπεν· εἰ βούλει καὶ σὺ θαλάττιος τράγος ἀκοῦσαι, ἐρώτησον. ὁ δὲ Ξάνθος, καὶ αὖθις ἤρετο τὸν ἔμπορον, πόσου τιμήματος ὁ γραμματικός; κἀκείνου τρισχιλίων ὀβολῶν ἀποκριναμένου, δυσφόρως ὁ φιλόσοφος ὑπενεγκὼν



τὴν

Hernia· — ῥιγόω· // frigeo co // tengo cicion· vel Sonat· no Se rie sino q tengo fria· — ιυ· ὀβολος· pedia // pozin sclabo· vel· mil· bt infra·

Universidad de Deusto
Biblioteca



τὴν ὑπερβολὴν τοῦ τιμήματος, καὶ στραφεὶς ἀπῄει. τῶν
δὲ σχολαστικῶν δεομένων, εἰ μὴ ἤρεσεν αὐτῷ τὰ σωμά-
τια, ναί φησιν. ἀλλὰ δόγμα κεῖται, μὴ ἀνδράποδον ὠνεῖ-
σθαι τὴν πολυτίμως. ἑνὸς δὲ τούτων φαμένου, ἀλλ' εἰ
ταῦθ' οὕτως ἔχει, τὸν γοῦν αἰσχρὸν τοῦτον οὐδεὶς νόμος ἐμ-
ποδὼν ἵσταται μὴ ὠνήσασθαι· τὴν αὐτὴν γὰρ καὶ οὗ-
τος λειτουργίαν εἰσοίσει. καὶ ἡμεῖς τὸ τίμημα τούτου κα-
ταθησόμεθα. ὁ ξάνθος ἔφη, ἀλλὰ γελοῖον ἂν εἴη ὑμᾶς
ἐκτῖσαι τὸ τίμημα, ἐμὲ δὲ τὸν δοῦλον ὠνήσασθαι. ἄλλως
τε καὶ τὸ γύναιόν μου καθάριον ὄν, οὐκ ἂν ἀνάσχοιτο
ὑπ' αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι. τῶν δὲ σχολαστι-
κῶν αὖθις εἰπόντων, ἀλλ' ἐγγὺς ἡ γνώμη, κατὰ τὸ μὴ πεί-
θεσθαι γυναικί, ὁ φιλόσοφος εἶπε· λάβωμεν πρότερον
πεῖραν, εἰ οἶδέ τι, μή πως καὶ τὸ τίμημα μάτην ἀπόλη-
ται. προσελθὼν γοῦν τῷ αἰσώπῳ, χαῖρέ φησι. καὶ ὅς,
μὴ γὰρ ἐλυπούμην. καὶ ὁ ξάνθος, ἀσπάζομαί σε. κἀκεῖ-
νος, κἀγὼ σέ. καὶ ὁ ξάνθος, ἅμα τοῖς ἄλλοις ἤδη τῷ πα-
ραλόγῳ καὶ ἑτοίμῳ τῆς ἀποκρίσεως ἐκπλαγείς, ἤρετο,
ποδαπὸς εἶ; ὁ δέ, μέλας, φησί. καὶ ὁ ξάνθος, οὐ τοῦτό φη-
μι, ἀλλὰ πόθεν γεγέννησαι. καὶ ὅς, ἐκ τῆς γαστρὸς τῆς μη-
τρός μου. καὶ ὁ ξάνθος, οὐ τοῦτο λέγω, ἀλλ' ἐν ποίῳ τό-
πῳ γεγέννησαι. κἀκεῖνος, οὐκ ἀνήγγειλέ μοι ἡ μήτηρ μου,
πότερον ἐν ἀνώγεῳ, ἢ κατώγεῳ. καὶ ὁ φιλόσοφος, τί
δὲ πράττειν ἐπίστασαι; κἀκεῖνος, οὐδέν. καὶ ὁ ξάνθος, τίνα
τρόπον; ὁ δέ, ἐπειδήπερ οὗτοι πάντα ἐπίστασθαι ἐπηγ-
γείλαντο, ἐμοὶ δὲ κατέλιπον οὐδὲ ἕν. καὶ ὑπερτερπεῖς οἱ σχο-
λαστικοὶ ὑπερφυῶς ἀγάμενοι, νὴ τὴν θείαν πρόνοιαν ἔ-
φασαν, πάνυ καλῶς ἀπεκρίνατο. οὐδὲ γὰρ εἷς ἐστιν ἄν-
θρωπος, ὃς ἂν πάντα εἰδείη. διὰ γὰρ τοῦτο, δηλαδὴ καὶ
ἐγέλα.

φέρω·μ·// οἴσω·διρο // μ·οἴσω·π·// ἐνήνοχα·



ἐγέλα. αὖθις οὖν ξάνθος φησί, βούλει πρίωμαί σε; καὶ
ὁ αἴσωπος, ἐμοῦ πρὸς τοῦτο συμβούλου δέῃ; ὁπότερόν σοι
δοκεῖ βέλτιον, ἢ πρίασθαι, ἢ μή, ποίει. οὐδεὶς γὰρ οὐδὲν πρὸς
βίαν ποιεῖ, τοῦτο παρὰ τῇ σῇ κεῖται γνώμῃ· κἂν μὲν βού-
λῃ, βαλαντίου θύραν ἀνοίξας, ἀργύριον ἀρίθμει· εἰ δέ,
μὴ σκῶπτε. πάλιν οὖν οἱ σχολαστικοὶ πρὸς ἀλλήλους ἔ-
φασαν, νὴ τοὺς θεοὺς νενίκηκε τὸν καθηγητήν. τοῦ δὲ ξάν-
θου φήσαντος, ἐὰν πρίωμαί σε, δραπετεῦσαι βουλήσῃ·
γελάσας ὁ αἴσωπος, ἔφη· τοῦτο εἰ βουλήσομαι πρᾶξαι,
οὐ πάντως χρήσωμαί σοι συμβούλῳ, ὡς δὴ καὶ σὺ μι-
κρῷ πρόσθεν ἐμοί. καὶ ὁ ξάνθος, καλῶς μὲν λέγεις, ἀλλ'
αἰσχρὸς εἶ. κἀκεῖνος, εἰς τὸν νοῦν ἀφορᾶν δεῖ φιλόσοφε,
καὶ μὴ εἰς τὴν ὄψιν. τότε τῷ ἐμπόρῳ προσελθὼν ὁ ξάν-
θος φησί, πόσου τοῦτον πωλεῖς; καὶ ὅς· κερτομῆσού μου
παρεῖ τὴν ἐμπορίαν, ὅτι τοὺς ἀξίους τούτους παῖδας ἀφείς,
τὸν αἰσχρὸν τοῦτον εἵλου. θάτερον τῶν λοιπῶν ὤνησαι,
τοῦτον δέ, πρόσδομα λάβε. καὶ ὁ ξάνθος, οὐ δῆτα, ἀλλὰ
τοῦτον. καὶ ὁ ἔμπορος, ἑξήκοντα ὀβολῶν ὤνησαι. καὶ οἱ μὲν
σχολαστικοὶ παραχρῆμα συνεισενεγκόντες, κατέθεντο. ὁ
δὲ ξάνθος, ἐκτήσατο. οἱ τοίνυν τελῶναι τὴν πρᾶσιν με-
μαθηκότες, παρῆσαν ἀνακρίνοντες, τίς μὲν ὁ ἀπεμπο-
λήσας, τίς δ' ὁ πριάμενος; αἰσχυνομένων δ' ἀμφοτέ-
ρων ἑαυτοὺς ἀνειπεῖν, διὰ τὸ πενιχρὸν τοῦ τιμήμα-
τος, ὁ αἴσωπος στὰς εἰς τὸ μέσον, ἀνέκραξεν· ὁ μὲν
πραθείς, ἐγώ· ὁ πριάμενος δ', οὑτοσί· καὶ ὁ πωλή-
σας, ἐκεινοσί· εἰ δ' αὐτοὶ σιωπῶσιν, ἐγὼ ἄρα ἐλεύθε-
ρός εἰμι. οἱ δὲ τελῶναι διαχυθέντες, ἐχαρίσαντό τε
τῷ ξάνθῳ τὸ τέλος, καὶ ἀπηλλάγησαν. ὁ μὲν οὖν αἴσω-
πος ἠκολούθει πρὸς τὴν οἰκίαν ἀπιόντι τῷ ξάνθῳ.

μεσημ-

βαλάντιον· la bolsa

: a hazer burla·

Universidad de Deusto
Biblioteca



μεσημβρινοῦ δὲ καύματος ὄντος, ὁ Ξάνθος ἐν τῷ περι-
πατεῖν τὸν χιτῶνα ἀνασυράμενος, οὔρει. ὅπερ ἰδὼν Αἴ-
σωπος, καὶ τῶν ἱματίων ἐκείνου δραξάμενος ὄπισθεν,
πρὸς ἑαυτὸν εἵλκυσε. καὶ φησί, τὴν ταχίστην με πώ-
λησον, ἐπεὶ δραπετεύσω. ὁ δὲ Ξάνθος, ἀνθ' ὅτου; ὅτι, φη-
σίν, οὐκ ἂν δυναίμην τοιούτῳ ὑπηρετεῖσθαι δεσπότῃ. εἰ
γὰρ σὺ δεσπότης ὤν, καὶ μηδένα φοβούμενος, ὅμως ἄνε-
σιν οὐ παρέχεις τῇ φύσει, ἀλλὰ βαδίζων οὐρεῖς, εἰ τύχοι
τὸν δοῦλον ἐμὲ πρός τινα σταλῆναι διακονίαν, καὶ ἐν τῷ
μεταξὺ τῆς πορείας τοιόνδε τι ἀπαιτήσει τὴν φύσιν, ἀ-
νάγκη πᾶσα πετόμενόν με ἀποπατεῖν. καὶ ὁ Ξάνθος,
τοῦτό σε θορυβεῖ; τρία κακὰ βουλόμενος διαφυγεῖν,
βαδίζων οὐρῶ. καὶ ὅς, ποῖα; κἀκεῖνος, ἐστί μοι, τὴν
μὲν κεφαλὴν κατέκαυσεν ἂν ὁ ἥλιος· τοὺς δὲ πόδας,
τὸ τῆς γῆς ἔδαφος ὂν ἐκπεπυρωμένον· ἡ δὲ τοῦ οὔρου δρι-
μύτης, τὴν ὄσφρησιν ἂν ἐλυμήνατο. καὶ ὁ Αἴσωπος, βά-
διζε, πέπεικάς με. ἐπεὶ δὲ ἐν τῇ οἰκίᾳ ἐπέστησαν, ὁ Ξάν-
θος παραγγείλας τῷ Αἰσώπῳ μένειν πρὸ τοῦ πυλῶ-
νος, ἐπειδὴ καθάρειον ὂν αὐτῷ τὸ γύναιον ᾔδει, καὶ οὐκ
ἐχρῆν ἐξαπίνης τοιοῦτον αἶσχος αὐτῇ φανῆναι, πρίν
τινα καὶ πρὸς αὐτὴν ἀστεΐσηται. αὐτὸς δ' εἰσελθών, λέ-
γει, κυρία, οὐκέτι με τοὐντεῦθεν ὀνειδιεῖς τῆς θεραπείας,
ἧς πρὸς τῶν θεραπαινίδων τῶν σῶν ἀπολαύω. ἤδη γὰρ
κἀγὼ παῖδά σοι ἐπριάμην, ἐν ᾧ, καὶ ὄψει κάλλος
οἷον οὔπω τεθέασαι, ὃς καὶ ἤδη πρὸ τοῦ πυλῶνος ἕστη-
κε. κἀκεῖνος μὲν ταῦτα. αἱ δέ γε θεραπαινίδες ἀλη-
θῆ νομίσασαι τὰ λεχθέντα, πρὸς ἀλλήλας οὐκ ἀγεννῶς
ἠμφισβήτουν, περὶ τοῦ, τίνι τούτων νυμφίος ὁ νεώνητος
ἔσται. τῆς δὲ τοῦ Ξάνθου γυναικὸς εἴσω κληθῆναι τὸν νεώ-

νητον

[Marginal notes, left page: "μεσημβρινοῦ: El calor de medio dia." — "χιτῶνα: la camisa." — "ἱμάτιον: la capa." — "ἀποπατεῖν: cacare." — "ἀποπαρδεῖν: ventris crepitum edere." — "ἐξαπίνης: de repente."]



νητον κελευσάσης, μία τῶν ἄλλων μᾶλλον ὀργῶσα,
καὶ ὡς ἀρραβῶνα τὴν κλῆσιν ἁρπάσασα, τὸν νεώνητον
ἐκδραμοῦσα ἐκάλει. κἀκείνου φαμένου, ἰδοὺ ἐγὼ πάρει-
μι, ἐκπλαγεῖσα σύ φησιν εἶ; καὶ ὅς, ναί. κἀκείνη, ἀβάσκαν-
τα, μὴ εἰσέλθῃς εἴσω, ἢ πάντες φύγωσι. καὶ μέντοι καὶ
ἄλλης ἐξελθούσης, καὶ ὡς εἶδεν αὐτόν, παταχθείη σου φα-
μένης τὸ πρόσωπον, καὶ δεῦρο εἴσελθε, ἀλλὰ μὴ προσεγ-
γίσῃς μοι. εἰσελθὼν ἔστη ἀντικρὺ τῆς δεσποίνης. ἡ δὲ τοῦτον
θεασαμένη, τὰς ὄψεις ἀπέστρεψε πρὸς τὸν ἄνδρα, φα-
μένη, πόθεν μοι τοῦτο τὸ τέρας ἤνεγκας; ἔκβαλε αὐτὸν τοῦ
προσώπου μου. κἀκεῖνος, ἅλις σοι κυρία. μὴ ὑποσκώπτε
μου τὸν νεώνητον. ἡ δέ, δῆλος εἶ Ξάνθε μισήσας με, ἑτέραν
ἀγαγέσθαι βουλόμενος· καὶ ἴσως αἰδούμενος φράσαι
μοι, ὡς τῆς οἰκίας ἀναχωρήσω, τὸν κυνοκέφαλόν μοι τοῦ-
τον κεκόμικας, ὡς ἂν τὴν αὐτοῦ δυσχεραίνουσα λα-
τρείαν, φύγω. δὸς οὖν μοι τὴν προῖκά μου, καὶ πορεύσο-
μαι. πρὸς ταῦτα τοῦ Ξάνθου μεμψαμένου τὸν Αἴσω-
πον, ὡς κατὰ μὲν τὴν ὁδὸν ἀστεῖά τινα φθεγξαμένου περὶ
τοῦ ἐν τῷ βαδίζειν οὐρῆσαι, νυνὶ δὲ πρὸς τὴν γυναῖκα
μηδὲν λέγοντος, Αἴσωπος ἔφη, βάλε αὐτὴν εἰς τὸ βά-
ραθρον. καὶ ὁ Ξάνθος, παῦε κάθαρμα, ἢ οὐκ οἶδας ὅτι ταύ-
την ὡς ἐμαυτὸν στέργω; καὶ ὁ Αἴσωπος, ἐρᾷς τῆς γυναικός;
κἀκεῖνος, πάνυ μὲν οὖν δραπέτα. καὶ πρὸς τοῦτο Αἴσω-
πος κροτήσας εἰς τὸ μέσον τὼ πόδε, μεγάλως ἀνέκρα-
ξε, Ξάνθος ὁ φιλόσοφος γυναικοκρατεῖται. καὶ στρα-
φεὶς πρὸς τὴν αὐτοῦ δέσποιναν, ἔφη· σὺ ὦ δέσποινα,
ἐβούλου οὖν φιλόσοφον ὠνήσασθαί σοι δοῦλον, νέον,
εὐσωματοῦντα, σφιγῶντα, ὃν ἔδει γυμνὴν ας καὶ ἐν τῷ
βαλανείῳ θεᾶσθαι, καὶ σοι προσπαίζειν τὰ εἰς αἰσχύνην

τοῦ φι-

[Marginal notes, right page: "ἀρραβῶνα: las albricias." — "scibu" — "ας: σε. legito."]

Universidad de Deusto Biblioteca

Simile plana // 230

τῆς φιλοσόφου. κύριε Εὐριπίδη, χρυσοῦν ἐγώ σου φημὶ τὸ στόμα, τοιαῦτα λέγον, Πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλαττίων, πολλαὶ δὲ ποταμῶν, καὶ πυρὸς θερμοῦ πνοαί. Δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία. Πλὴν οὐδὲν οὕτω δεινόν, ὡς γυνὴ κακή. σὺ δ' ὦ δέσποινα, φιλοσόφου γυνὴ οὖσα, ὑπὸ καλῶν νεανίσκων ὑπηρετεῖσθαι μὴ θέλε, μή πως ὕβριν τῷ ἀνδρί σου περιάψῃς. ἡ δὲ ταῦτα ἀκούσασα, καὶ πρὸς μηδὲν ἀντειπεῖν δυνηθεῖσα, πόθεν ἄνερ, φησί, σοι κάλλος τοῦτο τεθήρακας; ἀλλὰ καὶ λάλος ὁ σαπρὸς οὗτος φαίνεται καὶ εὐτράπελος, διαλλαγήσομαι τοίνυν αὐτῷ. καὶ ὁ Ξάνθος, Αἴσωπε, διήλλακταί σοι ἡ σὴ δέσποινα. καὶ ὁ Αἴσωπος εἰρωνευσάμενος, μέγα τι χρῆμά, φησι, τὸ πρᾶξαι γυναῖκα. καὶ ὁ Ξάνθος, σιώπα τοὐντεῦθεν. ὠνησάμην γάρ σε εἰς δουλείαν, οὐκ εἰς ἀντιλογίαν. τῇ δ' ὑστεραίᾳ Ξάνθος ἕπεσθαι καὶ Αἰσώπῳ κελεύσας, πρός τινα τῶν κήπων ἧκεν, ὠνησόμενος λάχανα. τοῦ δὲ κηπωροῦ δέσμην λαχάνων θερίζοντος, ἀνείληφεν Αἴσωπος. τοῦ δὲ Ξάνθου μέλλοντος ἤδη τῷ κηπωρῷ καταβάλλειν τὸ κέρμα, ὁ κηπωρὸς, ἔα κύριε, φησίν, τινὸς προβλήματος παρὰ σοῦ δέομαι. καὶ ὁ Ξάνθος, τίνος; καὶ ὃς, τί δή ποτε τὰ μὲν παρ' ἐμοῦ φυτευόμενα τῶν λαχάνων, καίπερ ἐπιμελῶς σκαλιζόμενά τε καὶ ἀρδευόμενα, βραδεῖαν ὅμως ποιεῖται τὴν αὔξησιν· οἷς δ' αὐτομάτη ἐκ γῆς ἡ ἀνάδοσις, καίτοι μηδεμιᾶς ἐπιμελείας ἀξιουμένοις, τούτοις ὀξυτέρα ἡ βλάστησις. ὁ μὲν οὖν Ξάνθος, καίτοι φιλοσόφου τῆς ζητήσεως οὔσης, μηδὲν ἕτερον συννοήσας εἰπεῖν, τῇ θείᾳ προνοίᾳ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις διοικεῖσθαί φησιν. ὁ δ' Αἴσωπος (παρῆν γὰρ) ἐγέλασε. καὶ πρὸς αὐτὸν ὁ φιλόσοφος, πότερον γελᾷς,

Τὸ κέρμα. si di// nero. vt plana. zo et Joannis evang.// cap. 2. vbi legitur κέρμα et κερ// ματιστὰς donde// κέρμα transfer// tur ...

γελᾷς,



γελᾷς, ἢ καταγελᾷς; καὶ ὁ Αἴσωπος, καταγελῶ φησιν, ἀλλ' οὐ σοῦ, τοῦ δὲ διδάξαντός σε. ἃ γὰρ ὑπὸ θείας προνοίας γίνεται, ταῦθ' ὑπὸ σοφῶν ἀνδρῶν τυγχάνει τῆς λύσεως. πρόβαλλε τοίνυν ἐμὲ, κἀγὼ λύσω τὸ πρόβλημα. ἐν τούτῳ τοίνυν ὁ Ξάνθος ἐπιστραφεὶς, λέγει πρὸς τὸν κηπωρόν· ἥκιστα, πάντων εὐπρεπές ἐστιν ὦ τᾶν,, ἐμὲ τὸν ἐν τοσούτοις ἀκροατηρίοις διαλεχθέντα, τὰ νῦν ἐν κήπῳ λύειν σοφίσματα. παῖς δέ μου οὑτοσὶ πολλῶν πεῖραν ἔχων ἀκολουθίας, τούτῳ προσαναθέμενος, τῆς λύσεως τεύξῃ τοῦ ζητουμένου. καὶ ὁ κηπωρὸς, οὗτος ὁ αἰσχρὸς γράμματα εἶδεν; οἴμοι τῆς δυστυχίας. ἀλλὰ φράσον ὦ λῷστε, εἰ τοῦ ζητουμένου τὴν διασάφησιν ἔγνωκας; καὶ ὁ Αἴσωπος, ἡ γυνή, φησιν, ἐπειδὰν πρὸς δεύτερον γάμον ἔλθῃ, τέκνα ἐκ τοῦ προτέρου ἀνδρὸς ἔχουσα, εἶτα εὕροι καὶ τὸν ἄνδρα τέκνα ἐκ τῆς προτέρας γυναικὸς τεκνοποιησάμενον, ἃ μὲν αὐτὴ τέκνα ἐπηγάγετο, τούτων μήτηρ ἐστίν· ἃ δ' εὗρεν ἐν τῷ ἀνδρὶ, τούτων ἐστὶ μητρυιά. πολλὴν οὖν ἐν ἑκατέροις ἐνδείκνυται τὴν διαφοράν. τὰ μὲν γὰρ ἐξ αὐτῆς, φιλοστόργως καὶ ἐπιμελῶς τρέφουσα, διαγίνεται· τὰ δ' ἐξ ἀλλοτρίων ὠδίνων, μισεῖ καὶ ζηλοτυπίᾳ χρωμένη, τὴν ἐκείνων τροφὴν περικόπτουσα, τοῖς ἑαυτῆς προστίθεται τέκνοις. τὰ μὲν γὰρ, φύσει ὡς οἰκεῖα φιλεῖ· ἀποστέργει δὲ τὰ τοῦ ἀνδρὸς, ὡς ἀλλότρια. τὸν ἴσον δὴ καὶ ἡ γῆ τρόπον, τῶν μὲν αὐτομάτως ἐξ αὐτῆς φυομένων, μήτηρ ἐστίν· ἃ δ' αὐτὸς ἐμφυτεύεις, τούτων γίνεται μητρυιά. οὗ χάριν, καὶ μᾶλλον ὡς γνήσια, τὰ οἰκεῖα τρέφει καὶ θάλπει· τοῖς δὲ παρὰ σοῦ φυτευομένοις, οὐ τοσαύτην, ὡς νόθοις, τὴν τροφὴν νέμει. ἐπὶ τούτοις ἡσθεὶς ὁ κηπωρὸς, πιστεύσαις ἄν μοί, φησιν, ὅτι με ἀμηχάνου λύπης, καὶ ἀδολεσχίας ἐκούφισας.

rides vel // irrides

μὲν

ἀδολέσχης. garrulus ... hinc ἀδολέσχης ... placet nugari. et αὐθάδης, qui sibi placet ...

ἄπιθ

ἀπήει προοίκια, φέρων τὰ λάχανα. καὶ ὁσάκις σοι τούτων δέῃ, ὡς οἰκεῖον κῆπον βαδίζων λάμβανε. μεθ' ἡμέρας δὲ πάλιν εἰς τὸ βαλανεῖον ἐλθόντος τοῦ Ξάνθου, καί τισιν ἐντυχόντος ἐκεῖ τῶν φίλων, καὶ πρὸς τὸν Αἴσωπον εἰρηκότος, εἰς τὴν οἰκίαν προσδραμὼν, καὶ φακῆν εἰς τὴν χύτραν ἐμβαλόντα ἕψησαι· ἐκεῖνος ἀπελθὼν, κόκκον ἕνα φακῆς εἰς τὴν χύτραν ἕψει βαλών. ὁ δὲ δὴ Ξάνθος ἅμα τοῖς φίλοις λουσάμενος, ἐκάλει τοὺς συναριστήσοντας. προεῖπε μέν τι καὶ ὡς λιτῶς, ὅτι φακῆ γάρ ἐσται τὸ δεῖπνον. καὶ ὡς μὴ δεῖν τῇ ποικιλίᾳ τῶν ἐδεσμάτων τοὺς φίλους κρίνειν, ἀλλὰ δοκιμάζειν τὴν προθυμίαν. τῶν δὲ ἐξιόντων, καὶ πρὸς τὴν οἰκίαν ἀφικομένων, ὁ Ξάνθος φησί, δὸς ἡμῖν ἀπὸ λουτροῦ πιεῖν Αἴσωπε. τοῦ δ' ἐκ τῆς ἀπορροίας τοῦ λουτροῦ λαβόντος, καὶ αὐτῷ δεδωκότος, ὁ Ξάνθος τῆς δυσωδίας ἀναπλησθεὶς, φεῦ, τί τοῦτό, φησιν, Αἴσωπε. καὶ ὃς, ἀπὸ λουτροῦ ὡς ἐκέλευσας. τοῦ δὲ Ξάνθου τῇ παρουσίᾳ τῶν φίλων τὴν ὀργὴν ἐπισχόντος, καὶ λεκάνην αὐτῷ παραθεῖναι κελεύσαντος, Αἴσωπος τὴν λεκάνην θεὶς ἵστατο. καὶ ὁ Ξάνθος, οὐ νίπτεις; κἀκεῖνος· ἐντέταλταί μοι ταῦτα ποιεῖν, ὅσα ἂν ἐπιτάξῃς. σὺ δὲ νῦν οὐκ εἶπας, βάλε ὕδωρ εἰς τὴν λεκάνην, καὶ νίψον τοὺς πόδας μου, καὶ θὲς τὰς ἐμβάδας, καὶ ὅσα ἐφεξῆς; πρὸς δὴ ταῦτα τοῖς φίλοις ὁ Ξάνθος ἔφη· μὴ γοῦν δοῦλον ἐωνησάμην, οὐκ ἔστιν ὅπως, ἀλλὰ διδάσκαλον. ἀνακλιθέντων τοίνυν αὐτῶν, καὶ τοῦ Ξάνθου τὸν Αἴσωπον ἐρωτήσαντος, εἰ ἕψηται ἡ φακῆ, δοίδυκι λαβὼν ἐκεῖνος τὸν τῆς φακῆς κόκκον ἀνέδωκεν. ὁ δὲ Ξάνθος λαβὼν, καὶ οἰηθεὶς ἕνεκεν τοῦ πεῖραν λαβεῖν τῆς ἑψήσεως τὴν φακῆν δέξασθαι, τοῖς δακτύλοις διαθρύψας,

ἔφη,

hoc Zidiguerris

sno eb assimile plana 19

ro la cuch



ἔφη, καλῶς ἕψηται, κόμισον. τοῦ δὲ μόνον τὸ ὕδωρ κενώσαντος ἐν τοῖς τρυβλίοις, καὶ παραθέντος, ὁ Ξάνθος, ποῦ ἐστιν ἡ φακῆ, φησί. καὶ ὃς, ἔλαβες αὐτήν. καὶ ὁ Ξάνθος, ἕνα κόκκον ἥψησας; καὶ ὁ Αἴσωπος, μάλιστα. φακῆν γὰρ ἑνικῶς εἶπας, ἀλλ' οὐ φακὰς, ὃ δὴ πληθυντικῶς λέγεται. ὁ μὲν οὖν Ξάνθος ἀπορήσας τοῖς ὅλοις, αἰσχρὸν ἑταῖροι, ἔφη, οὗτος εἰς μανίαν με περιτρέψει. εἶτα στραφεὶς πρὸς τὸν Αἴσωπον, εἶπεν· ἀλλ' ἵνα μὴ δόξω κακῶς δοῦλε τοῖς φίλοις ἐνδείξειν, ἀπελθὼν ὤνησαι πόδας χοιρείους τέτταρας, καὶ διὰ ταχέων ἑψήσας παράθες. τοῦ δὲ σπουδῇ τοῦτο ποιήσαντος, καὶ τῶν ποδῶν ἑψομένων, ὁ Ξάνθος εὐλόγως θέλων τύψαι τὸν Αἴσωπον, αὐτοῦ περί τι τῶν εἰς χρείαν ἀσχολουμένου, ἕνα τῶν ποδῶν ἐκ τῆς χύτρας λαθραίως ἀνελόμενος, ἔκρυψε. μετὰ μικρὸν δὲ καὶ ὁ Αἴσωπος ἐλθὼν, καὶ τὴν χύτραν ἐπισκεψάμενος, ὡς τοὺς τρεῖς μόνους πόδας ἑώρακεν, συνῆκε ἐπιβουλὴν αὐτῷ τινα γεγονυῖαν. καὶ δὴ καταδραμὼν ἐπὶ τὴν αὐλὴν, καὶ τοῦ σιτευομένου χοίρου τὸν ἕνα τῶν ποδῶν τῇ μαχαίρᾳ περιελὼν, καὶ τῶν τριχῶν ψιλώσας, εἰς τὴν χύτραν ἔρριψε, καὶ συνέψει τοῖς ἄλλοις. Ξάνθος δὲ δείσας, μήπως Αἴσωπος τὸν ὑφαιρεθέντα τῶν ποδῶν οὐχ εὑρὼν ἀποδράσῃ, αὖθις εἰς τὴν χύτραν αὐτὸν ἐνέβαλε. τοῦ δ' Αἰσώπου τοὺς πόδας εἰς τὸ τρυβλίον κενώσαντος, καὶ πέντε τούτων ἀναφανέντων, ὁ Ξάνθος, τί τοῦτό, φησιν, Αἴσωπε, πῶς πέντε; καὶ ἐκεῖνος, τὼ δύο χοίρω πόσους ἔχουσι πόδας; καὶ ὁ Ξάνθος, ὀκτώ. καὶ ὁ Αἴσωπος, εἰσὶν οὖν ἐνταῦθα πέντε. καὶ ὁ σιτευόμενος χοῖρος νέμεται κάτω τρίπους. καὶ ὁ Ξάνθος πάνυ βαρέως ἔχων, πρὸς τοὺς φίλους, φησί· οὐχὶ



τρύβλιος - el plato hondo bel bacin escudillado hic de quo plauta 17 et vide marci evangeliste cap. 14 et math. 26

ocupado

αὐλή - la pocilga de esta el cochino

pelado

τρυβλίον - el plato bel escudilla grande y honda de marci evangeliste cap. 14 et mathei 26

Universidad de Deusto Biblioteca

μικρῷ πρόσθεν εἶπεν ὡς τάχιστά με πρὸς μανίαν ἤδη περιτρέψει; καὶ ὁ Αἴσωπος, δέσποτα, οὐκ οἶσθα ὅτι τὸ ἐκ προσθέσεώς τε καὶ ἀφαιρέσεως εἰς τὸν κατὰ λόγον τεθὲν συγκεφαλαιούμενον, οὐκ ἔστιν ἁμάρτημα. ὁ μὲν οὖν Ξάνθος μηδεμίαν αἰτίαν εὐπρόσωπον εὑρηκὼς μαστιγῶσαι τὸν Αἴσωπον, ἡσύχασε. τῇ δ' ὑστεραίᾳ τῶν σχολαστικῶν τις πολυτελὲς εὐτρεπίσας δεῖπνον, σὺν ἄλλοις σχολαστικοῖς, καὶ τὸν Ξάνθον κέκληκεν. εὐωχουμένων τοίνυν, ὁ Ξάνθος μερίδας ἐκ τῶν παρακειμένων ἀνελόμενος ἐπιλέκτους, τῷ Αἰσώπῳ ὄπισθεν ἐφεστῶτι δοὺς, τῇ εὐνοούσῃ μοι, φησὶ πρὸς αὐτὸν, ταῦτα ἐπίδος ἀπελθών. ὁ δ' ἀπιὼν, καθ' ἑαυτὸν ἐνενόει, νῦν καιρός τίσασθαί μου τὴν δέσποιναν, ἀνθ' ὧν με ἡνίκα νεώνητος ἦλθον ἔσκωψεν. ὄψεται τοίνυν, εἰ τῷ δεσπότῃ μου εὐνοεῖ. ἀφικόμενος οὖν εἰς τὴν οἰκίαν, καὶ καθίσας ἐν τῷ προδόμῳ, καὶ τὴν δέσποιναν ἐκκαλέσας, τὴν σπυρίδα τῶν μερίδων ἔμπροσθεν αὐτῆς τέθεικε. καὶ φησὶ, δέσποινα, ταῦτα πάντα ὁ δεσπότης πέπομφεν οὐ σοὶ, ἀλλὰ τῇ εὐνοούσῃ. καὶ τὴν κύνα καλέσας, καὶ εἰπὼν ἐλθὲ λύκαινα φάγε. σοὶ γὰρ ὁ δεσπότης ταῦτα ἐπέταξεν δοθῆναι· ἀνὰ μέρος τῇ κυνὶ πάντα προὔβαλε. μετὰ δὲ ταῦτα πρὸς τὸν δεσπότην πάλιν ἐλθὼν, καὶ ἐρωτηθεὶς, εἰ τῇ εὐνοούσῃ δέδωκε πάντα, πάντα φησί. καὶ ἐνώπιον ἐμοῦ πάντα κατέφαγε. τοῦ δὲ ἐπανερομένου, καὶ τί ποτε ἄρα ἐσθίουσα ἔλεγεν; ἐκεῖνος, ἐμοὶ μὲν, φησιν, οὐδὲν οὖν εἴρηκε. καθ' ἑαυτὴν δέ σοι χάριτας ᾔδει. ἡ μέντοι γυνὴ τοῦ Ξάνθου συμφορὰν τὸ πρᾶγμα ποιησαμένη ἅτε δὴ δευτέρα τῆς κυνὸς ἐλεγχθεῖσα τῇ πρὸς τὸν ἄνδρα εὐνοίᾳ, καὶ ἐπειποῦσα ἦ μὴν μηκέτι τὸ λοιπὸν

συνοικήσειν

ὅτι

sumar y restar

σπυρίς. la espuerta. vt p lucaz in actibus apost. cap. 9.

vox iurantis



συνοικήσειν αὐτῷ, εἴσω παρελθοῦσα τοῦ κοιτῶνος ἐβρίμει. τοῦ δὲ πότου προκόπτοντος, καὶ ζητημάτων πρὸς ἀλλήλους προτεινομένων, καὶ ἑνὸς αὐτῶν ἀπορήσαντος, πηνίκα ἂν γένοιτο μεγάλη ἐν ἀνθρώποις ταραχὴ, Αἴσωπος ὄπισθεν ἑστὼς εἶπεν· ἡνίκα ἂν οἱ νεκροὶ ἀνιστάμενοι, τὰ ἑαυτῶν ἀπαιτήσωσι κτήματα. καὶ οἱ σχολαστικοὶ γελάσαντες ἔφασαν, νοήμων ἐστὶν ὁ νεώνητος. ἑτέρου δὲ πάλιν προτεθέντος, ὅτου χάριν τὸ μὲν πρόβατον ἐπὶ σφαγὴν ἑλκόμενον οὐ βοᾷ, ὁ δὲ χοῖρος ὅτι μάλιστα κράζει, Αἴσωπος αὖθις ἔφη, ὅτι τὸ μὲν πρόβατον κατὰ τὸ εἰωθὸς ἀμελγόμενον, ἢ τὸ τοῦ πόκου βάρος ἀφαιρούμενον, σιγῇ ἕπεται. διὸ καὶ ὑποσκελιζόμενον, καὶ τὸν σίδηρον ὁρῶν, οὐδὲν δεινὸν ὑποπτεύει, ἀλλ' ἐκεῖνα τὰ συνήθη καὶ μόνα δοκεῖ πείσεσθαι. ὁ δὲ χοῖρος ἅτε δὴ μήτ' ἀμελγόμενος, μήτε κειρόμενος, μηδὲ συνειδὼς ἑαυτῷ πρός τι τῶν τοιούτων ἑλκόμενος, ἀλλ' ὅτι τῶν σαρκῶν αὐτοῦ μόνον ἐστὶ χρεία, εἰκότως βοᾷ. τούτων οὕτω ῥηθέντων, οἱ σχολαστικοὶ πάλιν ἐπῄνεσαν αὐτὸν, τραπέντες εἰς γέλωτα. παυσαμένου μέντοι τοῦ πότου, καὶ τοῦ Ξάνθου πρὸς τὴν οἰκίαν ἀπονοστήσαντος, καὶ τῇ γυναικὶ συνήθως ὁρμήσαντος πρὸς λαλεῖν, ἐκείνη τοῦτον ἀποστραφεῖσα, φησὶ, μή μου πλησίον γένῃ. δός μοι τὴν προῖκά μου, καὶ ἀπελεύσομαι. οὐδὲν γὰρ ἂν μείναιμι σὺν σοὶ τοὐντεῦθεν. σὺ δ' ἀπελθὼν, τὴν κύνα κολάκευε, ᾗ πέπομφας τὰς μερίδας. καὶ ὁ Ξάνθος ἐκπλαγεὶς λέγει, οὐκ ἔστιν ὅπως οὐκ ἤρτησέ μοί τι κακὸν πάλιν Αἴσωπος. καὶ πρὸς τὴν γυναῖκα φησὶν, κυρία, ἐμοῦ πεπωκότος σὺ μεθύεις; τίνι τὰς μερίδας πέπομφα, οὐχὶ σοί; μὰ Δί', ἐμοὶ μὲν οὔ, φησιν ἐκείνη, τῇ δὲ κυνί.

ὅτι

ἤ - conj.

Universidad de Deusto Biblioteca



καὶ ὁ Ξάνθος τῷ Αἰσώπῳ εἰσελθόντι, φησί· τίνι δέδω-
κας τὰς μερίδας; κἀκεῖνος, τῇ εὐνοούσῃ σοί. καὶ πρὸς
τὴν γυναῖκα ὁ Ξάνθος, οὐδὲν ἔλαβες; κἀκείνη, οὐδέν.
καὶ ὁ Αἴσωπος· τίνι γὰρ ἐκέλευσας δέσποτα τὰς με-
ρίδας δοθῆναι; κἀκεῖνος, τῇ εὐνοούσῃ μοι. καὶ ὁ Αἴσωπος
τὴν κύνα φωνήσας, αὕτη σοι, φησίν, εὐνοεῖ. ἡ γὰρ γυνὴ
κἂν εὐνοεῖν λέγηται, ἀλλ' ἐπ' ἐλαχίστῳ ἀλγήσασα, ἀν-
τιλέγει, λοιδορεῖται, ἀναχωρεῖ. τὴν μέντοι κύνα, τύ-
ψον, ἀπέλασον, καὶ οὐκ ἀναχωρήσειεν ἄν, ἀλλ' ἐπιλα-
θομένη πάντων αὐτίκα φιλοφρόνως σαίνει καὶ συγ-
χαίρει τὸν δεσπότην. ἔδει σε οὖν εἰπεῖν δέσποτα, τῇ γυ-
ναικὶ τὰς μερίδας κόμισον, ἀλλὰ μὴ τῇ εὐνοούσῃ. καὶ ὁ Ξάν-
θος, ὁρᾷς κυρία ὡς οὐκ ἐμὸν τὸ ἁμάρτημα, ἀλλὰ τοῦ κο-
μίσαντος; ἀνάσχου τοιγαροῦν, καὶ οὐκ ἀπορήσω προ-
φάσεως, δι' ἣν αὐτὸν μαστιγώσω. τῆς δὲ μὴ πειθομένης,
ἀλλὰ λάθρα πρὸς τοὺς ἑαυτῆς γονεῖς ἀποχωρησάσης, Αἴ-
σωπος εἶπεν, οὐκ ὀρθῶς εἶπον ὦ δέσποτα, ὡς ἡ κύων
σοι μᾶλλον εὐνοεῖ, καὶ οὐχ ἡ ἐμὴ δέσποινα; ἡμερῶν δέ
τινων παρῳχηκυιῶν, καὶ τῆς γυναικὸς ἀδιαλλάκτου
μενούσης, καὶ τοῦ Ξάνθου τῶν προσηκόντων τινὰς ὡς αὐτήν,
ὡς ἂν ἐπιστρέψειεν οἴκαδε πέμψαντος, τῆς δὲ μὴ ὑπεί-
κειν θελούσης, καὶ τοῦ Ξάνθου δι' αὐτὴν εἰς ἀθυμίαν πε-
σόντος, Αἴσωπος προσελθὼν αὐτῷ φησι, μὴ ἀνιῶ δέ-
σποτα. ἐγὼ γὰρ αὐτὴν αὔριον ἥκειν αὐθαίρετον, καὶ ἀ-
παράλλακτον δράσω πρός σέ. καὶ λαβὼν κόρμα, πρὸς
τὴν ἀγορὰν ἦλθεν. καὶ ὠνησάμενος χῆνας καὶ ὄρνι-
θας, καὶ ἄλλ' ἄττα τῶν πρὸς εὐωχίαν ἐπιτηδείων, βα-
δίζων τὰς οἰκίας περιενόστει. παρῄει τοίνυν καὶ τὴν τῶν
τῆς αὐτοῦ δεσποίνης γεννητόρων οἰκίαν, μή τι ταύτην εἰδέ-

ναι

ſ κέρμα. vt pla// //.14. hoc est di// //nero vel nummos·
ſ χῆν. vós. an// // ser.// gansos·
φωνησόμενος. legito.

: pecu- nia



ναι προσποιούμενος ἐκείνων τυγχάνουσαν, μήτε μὴν
ἐν αὐτῇ τὴν δέσποιναν μένουσαν. καὶ δή τινι τῶν τῆς οἰ-
κίας ἐκείνης ἐντυχών, ἠρώτα εἴ τι που τῶν εἰς γάμους χρη-
σίμων οἱ κατὰ τὴν οἰκίαν ἔχοιεν αὐτῷ πωλῆσαι. τοῦ δὲ καὶ
τίς τούτων ἔχει τὴν χρείαν πυνθομένου, Ξάνθος, φησίν,
ὁ φιλόσοφος, αὔριον γὰρ γυναικὶ μέλλει συνάπτεσθαι.
τοῦ δὲ ἀναβάντος, καὶ τῇ γυναικὶ ταῦτα τοῦ Ξάνθου ὡς
ἤκουσεν ἀναγγείλαντος, ἐκείνη σὺν δρόμῳ καὶ σπου-
δῇ πρὸς τὸν Ξάνθον ἦλθεν αὐτίκα. καὶ αὐτοῦ κατεβόα,
λέγουσα πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, ὡς οὐκ ἂν ἐμοῦ
ζώσης ὦ Ξάνθε ἑτέρᾳ γυναικὶ δυνηθείης συναρμοσθῆ-
ναι. καὶ οὕτως ἔμεινεν ἐπὶ τῆς οἰκίας διὰ Αἰσώπου, ὡς καὶ
δι' ἐκεῖνον ἀπῆρε. μετὰ δ' ἡμέρας πάλιν τινάς, καλέ-
σας ὁ Ξάνθος σχολαστικοὺς εἰς ἄριστον, τῷ Αἰσώπῳ φη-
σίν· ὀψώνησον ἀπελθὼν πᾶν, ὅ, τι χρηστότατόν τε καὶ βέλ-
τιστον. ὁ δὲ ἀπιών, καθ' ἑαυτὸν ἔλεγεν· ἐγὼ διδάξω τὸν δε-
σπότην μὴ μωρὰ διατάττεσθαι. γλώττας οὖν μόνας
ὑείους πριάμενος, καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι, γλώτ-
ταν ὀπτὴν ἑκάστῳ σὺν ὀξυγάρῳ παρέθηκε. τῶν δὲ σχολα-
στικῶν ἐπαινεσάντων ὡς φιλόσοφον τὸ πρῶτον ἔδεσμα
διὰ τὴν τῆς γλώττης πρὸς τὸν λόγον ὑπηρεσίαν, πάλιν
Αἴσωπος ἑφθὰς γλώττας παρέθηκε. καὶ αὖθις αὐτῶν βρώ-
ματος αἰτησάντων ἄλλου καὶ ἄλλου, οὐδ' οὐδὲν ἕτερον ὅτι
μὴ γλώττας προὐτίθει. τῶν δὲ σχολαστικῶν ἐπὶ τῷ ταυ-
τῷ τῆς τροφῆς ἀγανακτησάντων, μέχρι τίνος γλώττας
εἰπόντων, καὶ ὡς ἡμεῖς διὰ ἡμέρας γλώττας ἐσθίοντες,
τὰς ἡμετέρας ἠλγήσαμεν, ὁ Ξάνθος φησί, πρὸς ὀργὴν
οὐδέν σοι πάρεστιν ἕτερον Αἴσωπε; καὶ ὅς, οὐ δῆτα. κἀκεῖ-
νος, οὐκοῦν ἐνετειλάμην σοι, κατάρατον ἄνθρωπον,

ſ forte legend.// est πυνθανο// μένου sed melius πυθομένου. vt pla.// .27.
ſ idest κατ' αὐτοῦ.
ſ ἀπῆρε.
: liquamen factum ex aceto et piscibus.

παῖ, ὅ, τι χρηστότατόν τε καὶ ἄριστον ὀψωνῆσαι; καὶ ὁ Αἴσωπος, πολλὰς ὁμολογῶ σοι τὰς χάριτας μεμφομένῳ με φιλοσόφων ἀνδρῶν παρόντων. τί ἂν οὖν γένοιτο γλώττης χρηστότερόν τε καὶ βέλτιον ἐν τῷ βίῳ; πᾶσα γὰρ παιδεία καὶ φιλοσοφία, δι' αὐτῆς παιδεύεται καὶ διδάσκεται. δι' αὐτῆς δόσεις, λήψεις, ἀγοραί, ἀσπασμοί, εὐφημίαι, μοῦσαι πᾶσαι. δι' αὐτῆς γὰρ συγκροτοῦνται γάμοι, πόλεις ἀνορθοῦνται, ἄνθρωποι διασώζονται· καὶ συνελόντι φάναι, δι' αὐτῆς ἅπας ὁ βίος ἡμῶν συνέστηκεν. οὐδὲν ἄρα τῆς γλώττης ἄμεινον. ἐπὶ τούτοις οἱ σχολαστικοὶ τὸν μὲν Αἴσωπον ὀρθῶς λέγειν φάμενοι, ἡμαρτηκέναι δὲ τὸν διδάσκαλον, διεληλύθασιν ἕκαστος ἐπ' οἴκου. τῇ δ' ὑστεραίᾳ πάλιν αἰτιωμένων αὐτῶν τὸν Ξάνθον, ἐκεῖνος ἀπελογεῖτο μὴ κατὰ γνώμην αὐτοῦ ταῦτα γεγονέναι, ἀλλὰ τοῦ ἀχρείου δούλου τῇ κακουργίᾳ. σήμερον δὲ διαμείψει τὸ δεῖπνον. καὶ γὰρ δὲ παρόντων ὑμῶν αὐτῷ διαλέξομαι. καὶ καλέσας αὐτὸν, πᾶν ὅ, τι φαυλότατόν τε καὶ χείριστον ὀψωνῆσαι κελεύει, ὡς τῶν σχολαστικῶν σὺν αὐτῷ δειπνησόντων. ὁ δὲ μηδὲν διατραπεὶς, πάλιν γλώσσας ἐπρίατο. καὶ ἑτοιμάσας, ἀνακλινθεῖσι παρέθηκεν. οἱ δὲ πρὸς ἀλλήλους ὑπεφώνουν, χοίρειαι πάλιν γλῶσσαι. καὶ μετὰ μικρὸν αὖθις γλώττας παρέθηκε. καὶ μάλα αὖθις, καὶ αὖθις. τοῦ Ξάνθου δὲ δυσανασχετήσαντος, καὶ τί τοῦτο Αἴσωπε εἰρηκότος, μὴ πάλιν ἐνετειλάμην σοι πᾶν ὅ, τι χρηστότατόν τε καὶ βέλτιστον ὀψωνῆσαι; οὐχὶ πᾶν, ὅ, τι φαυλότατόν τε καὶ χείριστον; ὁ δὲ, καὶ τί ποτε χεῖρον τῆς γλώττης ὦ δέσποτα. οὐ πόλεις δι' αὐτῆς καταπίπτουσιν; οὐκ ἄνθρωποι δι' αὐτῆς ἀναιροῦνται; οὐ ψεύδη πάντα καὶ βλασφημίαι

μὴ. numquid?





σφημίαι καὶ ἐπιορκίαι διὰ ταύτης περαίνονται; οὐ γάμοι καὶ ἀρχαὶ καὶ βασιλεῖαι δι' αὐτῆς ἀνατρέπονται; οὐχ ὡς κεφάλαιον εἰπεῖν, ὁ βίος δι' αὐτῆς ἅπας μυρίων πλημμελημάτων γέμει; ταῦτα τοῦ Αἰσώπου φαμένου, τῶν τις συνανακειμένων τῷ Ξάνθῳ, φησίν· οὗτος εἰ μὴ πάνυ σαυτοῦ ἀσφαλίσῃ, οὐκ ἂν ἄπορος εἴη μανίας ἀφορμή σοι γενέσθαι. οἵα γὰρ ἡ μορφή, τοιάδε καὶ ἡ ψυχή. καὶ ὁ Αἴσωπος πρὸς αὐτόν· σύ μοι δοκεῖς ἄνθρωπε κακεντρεχής τις καὶ περίεργος εἶναι, δεσπότην παροξύνων κατὰ οἰκέτου. καὶ ὁ Ξάνθος πρὸς ταῦτα, προφάσεως ἐφιέμενος μαστιγῶσαι τὸν ἄνθρωπον, δραπέτα φησίν, ἐπεὶ περίεργον εἶπας τὸν φίλον, δεῖξόν μοι ἀπερίεργον ἄνθρωπον ἀγαγών. ἐξελθὼν τοίνυν τῆς ἐπιούσης ἐπὶ τῆς λεωφόρου ὁ Αἴσωπος, καὶ τοὺς παριόντας περισκοπῶν, ὁρᾷ τινα ἐφ' ἑνὸς τόπου ἱκανὸν χρόνον καθίσαντα, ὃν καὶ δοκιμάσας καθ' αὑτὸν ἀπράγμονά τινα, καὶ ἁπλοῦν εἶναι, προσελθών φησιν, ὁ δεσπότης σε καλεῖ σὺν αὐτῷ ἀριστῆσαι. καὶ ὁ ἄγροικος ἐκεῖνος μηδὲν περιεργασάμενος, μήτε τίς ὢν ὑπὸ τίνος καλεῖται, εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ σὺν αὐτοῖς ὑποδήμασι φαύλοις οὖσιν ἀνέπεσεν. ἐρομένου δὲ τοῦ Ξάνθου τίς οὗτος, Αἴσωπος εἶπεν, ἀπερίεργος ἄνθρωπος. καὶ ὁ Ξάνθος εἰς οὖς εἰπὼν τῇ γυναικὶ συνυποκριθῆναι αὐτῷ, καὶ ὅπερ ἂν αὐτὸς ἐπιτάττῃ, ποιεῖν, ὡς ἂν εὐπροσώπῳ λόγῳ πληγὰς τῷ Αἰσώπῳ ἐντείνειεν. εἶτα ἐν ἐπηκόῳ πάντων φησί, κυρία, ὕδωρ ἐπὶ τῆς λεκάνης βαλοῦσα, τοὺς πόδας τοῦ ξένου νίψον. διενοεῖτο γὰρ καθ' αὑτὸν, ὡς πάντως ὁ μὲν ξένος εὐλαβηθήσεται· ὁ δ' Αἴσωπος ὡς ἐκείνου περιέργου φανέντος,

...tatus. — Ibi. δεσπότην // Simj le Plana // "81. — cōbida.

πληγὰς λήψεται. ἡ μὲν οὖν βαλοῦσα τὸ ὕδωρ εἰς τὴν λεκάνην, ἧκε τοὺς πόδας τοῦ ξένου νίψουσα. ὁ δὲ γνοὺς ταύτην οὖσαν τὴν τοῦ οἴκου δεσπότιν, καθ' ἑαυτὸν εἶπε· τιμῆσαί με πάντως βούλεται, καὶ τούτου δὲ χάριν αὐτοχειρία τοὺς πόδας μου βούλεται νίψαι, ἐπεὶ θεραπαινίσιν εἶχεν ἂν τοῦτ' ἐπιτάξαι. προτείνας οὖν τοὺς πόδας, νίψον κυρία, φησί. καὶ νιψάμενος, ἀνεκλίνθη. τοῦ δὲ ξάνθου κελεύσαντος οἶνον τῷ ξένῳ δοθῆναι πιεῖν, πάλιν ἐκεῖνος διελογίσατο καθ' αὑτὸν ὡς αὐτοὺς μὲν τὸ πρότερον ἔδει πιεῖν· ἐπεὶ δ' οὕτως αὐτοῖς ἔδοξεν, οὐδὲν ἔργον ἐμοὶ τὰ τοιαῦτα ἐρευνᾶν· καὶ λαβὼν, ἔπιεν. ἀριστούντων δὲ καί τινος ἐδέσματος τῷ ξένῳ παρατεθέντος, κἀκείνου ἡδέως ἐσθίοντος, ὁ ξάνθος τῷ μαγείρῳ ὡς κακῶς τοῦτο ἀρτύσαντι ἐνεκάλει. καὶ μέντοι καὶ ἀποδυθέντι πληγὰς ἐνεφόρει. ὁ δ' ἀγρότης καθ' αὑτὸν ἔλεγε, τὸ μὲν ἔδεσμα, ἄριστα ἕψηται, καὶ οὐδενὸς αὐτῷ δεῖ πρὸς τὸ καλῶς ἔχειν. εἰ δὲ καὶ δίχα προφάσεως βούλεται τὸν αὑτοῦ δοῦλον μαστιγοῦν ὁ οἰκοδεσπότης, τί πρὸς ἐμέ; τοῦ δὲ ξάνθου ἀσχάλλοντος, καὶ οὐχ ἡδέως διακειμένου, ἐπεὶ μηδὲν ὁ ξένος περιειργάζετο, τέλος πλακοῦντες εἰσηνέχθησαν. ὁ δὲ ξένος ἅτε δὴ μήπω πλακοῦντος γευσάμενος, σωρεύων καὶ συνειλῶν αὐτοὺς ὡς ψωμοὺς ἤσθιε. τοῦ δὲ ξάνθου τὸν ἀρτοποιὸν αἰτιασαμένου, καὶ τί δή ποτε ὦ κατάρατε φαμένου, ἄνευ μέλιτος δίχα δὲ πεπέρεως τοὺς πλακοῦντας ἐσκεύασας; ἐκεῖνος ἔφη, εἰ μὲν ὠμός ἐστιν ὦ δέσποτα ὁ πλακοῦς, ἐμὲ τύπτε. εἰ δ' οὐχ ὡς ἔδει ἐσκεύασται, μὴ ἐμὲ, ἀλλὰ τὴν δέσποιναν αἰτιῶ. καὶ ὁ ξάνθος, εἰ πρὸς τῆς ἐμῆς τοῦτο γέγονε γυναικὸς, ζῶσαν αὐτὴν ἀρτίως κατακαύσω. καὶ πάλιν τῇ γυναικὶ νεύει αὐτῷ συνυποκριθῆναι

διὰ αἴσω-

ἔβατ. ἤει // ἄνευθο. εἴω. / μ. εἴσω; τω. / εἴκω. μέσος / π. εια. ὑπερ / συντ. ἤειν. // / καί. εἴω. // / vado.

ἀσχάλλοντος. ἀπὸ τοῦ ἀσχαλῶ. φέρ. // tristor. egre fero / irascor. ex can // odysseo.



δὴ αἰσώπου. κελεύσας οὖν κληματίδας εἰς τὸ μέσον ἀχθῆναι, πυρὰν ἀνῆψε. καὶ λαβόμενος τῆς γυναικὸς, ἐγγὺς τῆς πυρᾶς ἤγαγε, προσδοκήσιμος ὢν αὐτὴν εἰς τὸ πῦρ ἐπαφεῖναι, διέτριβε δέ πως καὶ περιέβλεπε τὸν ἄγροικον, εἴ πως ἀναστὰς τοῦ τοιοῦδε τολμήματος εἷρξαι αὐτὸν ἐγχειρήσειεν. ὁ δὲ καθ' αὑτὸν αὖθις διεσκοπεῖτο, ὡς αἰτίας μὴ παρούσης, τί δή ποτε οὕτως ὀργίζεται. εἶτα, φησὶν, οἰκοδέσποτα, εἰ τοῦτο κέκρικας δεῖν γενέσθαι, ὑπόμεινόν με μικρὸν μέχρις ἂν ἀπελθὼν ἐνέγκω μου καὶ αὐτὸς ἐξ ἀγροῦ τὴν γυναῖκα, ὡς ἂν ἄμφω κατὰ τὸ αὐτὸ κατακαύσῃς. ταῦτα τοῦ ἀνδρὸς ὁ ξάνθος ἀκούσας, καὶ τὸ τοῦ τρόπου ἀκέραιον καὶ γενναῖον θαυμάσας, τῷ αἰσώπῳ φησὶν, ἴδε ἀληθῶς ἄνθρωπος ἀπερίεργος. ἔχεις τὰ νικητήρια λαβὼν αἴσωπε. ἅλις ἔχει σοι τοῦ λοιποῦ. τὸ δ' ἐντεῦθεν, ἐλευθερίας τῆς σῆς ἐπιτεύξῃ. τῇ δὲ ἐπιούσῃ ὁ ξάνθος ἐπέταξε τῷ αἰσώπῳ εἰς τὸ βαλανεῖον ἀπελθεῖν καὶ σκέψασθαι, εἰ μὴ πολὺς πάρεστιν ὄχλος· βούλεσθαι γὰρ αὐτὸν λουθῆναι. ἀπιόντι δὲ ὁ στρατηγὸς συναντήσας, καὶ τοῦ ξάνθου γνοὺς αὐτὸν ὄντα, ἤρετο ποῖ πορεύοιτο. τοῦ δὲ, οὐκ οἶδα, φαμένου, νομίσας ὁ στρατηγὸς τὴν ἐρώτησιν αὐτοῦ παρ' οὐδὲν λογισθῆναι, εἰς εἱρκτὴν αὐτὸν ἀπαχθῆναι κελεύει. ἀπαγόμενος τοίνυν ὁ αἴσωπος ἔκραξεν· ὁρᾷς, ὦ στρατηγὲ, ὅπως ὀρθῶς ἀπεκρίθην; ἃ γὰρ μὴ προσεδόκησα, καὶ συνήντησά σοι, καὶ εἰς εἱρκτὴν ἤδη ἀπάγομαι. καὶ ὁ στρατηγὸς ἐκπλαγεὶς ἐπὶ τῷ τῆς ἀπολογίας ἑτοίμῳ, ἀφῆκεν ἀπιέναι. αἴσωπος δὲ παραγενόμενος εἰς τὸ βαλανεῖον, καὶ πλῆθος ἐν αὐτῷ θεασάμενος ὄχλου, καὶ λίθον ὁρᾷ κατὰ τὸ τῆς εἰσόδου μεσαίτατον κείμενον,

 ἐφ' ὃν

ἐφ' ὃν ἕκαστος τῶν εἰσιόντων τε καὶ ἐξιόντων, τὸν πόδα προσέπταιε. τοῦτον δὲ εἷς τις εἰσιὼν ἐφ' ᾧ λούσασθαι, ἄρας μετέθηκεν. ἐπιστρέψας οὖν πρὸς τὸν δεσπότην, εἰ κελεύεις, φησί, δέσποτα λούσασθαι, ἕνα ἄνθρωπον ἐν τῷ βαλανείῳ τεθέαμαι. καὶ τοῦ ξάνθου ἐλθόντος, καὶ τὸ πλῆθος τῶν λουομένων ἰδόντος, καὶ τί τοῦτο εἰπόντος αἴσωπε, οὐχ ἕνα ἄνθρωπον ἔφης ἑωρακέναι; ὁ αἴσωπος, ναί, φησιν. τὸν γὰρ λίθον ἐκεῖνον (τῇ χειρὶ δείξας) πρὸ τῆς εἰσόδου κείμενον εὗρον, ἐφ' ὃν οἱ εἰσιόντες πάντες καὶ ἐξιόντες προσέπταιον· εἷς δέ τις πρὶν, ἢ προσπταῖσαι, ἄρας μετέθηκεν· ἐκεῖνον οὖν ἕνα ἄνθρωπον εἶπον ἑωρακέναι, προτιμήσας τῶν ἄλλων. καὶ ὁ ξάνθος, οὐδὲν παρὰ τῷ αἰσώπῳ ἀργὸν εἰς ἀπολογίαν. ἄλλοτέ ποτε τοῦ ξάνθου ἐξ ἀφέδρου ἐπανιόντος, καὶ πυνθομένου τὸν αἴσωπον, τί δή ποτε οἱ ἄνθρωποι μετ' ἀπόπατον τὰ τῆς γαστρὸς ἐκκρίματα βλέπουσιν; ἐκεῖνος ἔφη· κατὰ τοὺς παλαιοὺς χρόνους ἀνήρ τις τῶν τρυφερωτέρων ζώντων, πολὺν χρόνον ὑπὸ σπατάλης ἐν ἀφόδῳ ἐκάθητο, ὡς καὶ τὰς οἰκείας ἐκεῖ διατρίβων, ἀποπατῆσαι φρένας. ἐξ ἐκείνου τοίνυν δεδοικότες οἱ λοιποὶ τῶν ἀνθρώπων, πρὸς τὰ τῆς γαστρὸς ἀφορῶσι λύματα, μήπως καὶ αὐτοὶ τοῦτο πεπόνθασιν. ἀλλὰ σὺ δέσποτα μὴ φοβοῦ· οὐ γὰρ ἔχεις φρένας. ἐν ἡμέρᾳ δέ τινι συμποσίου συγκροτηθέντος, καὶ τοῦ ξάνθου σὺν τοῖς ἄλλοις τῶν φιλοσόφων ἀνακλινθέντος, καὶ τοῦ πότου ἤδη ἐπικρατήσαντος, συχνὰ προβλήματα, μεταξὺ τούτων ἐκαλινδεῖτο. καὶ τοῦ ξάνθου ἀρξαμένου ταράττεσθαι, αἴσωπος παρεστὼς ἔφη, δέσποτα ὁ διόνυσος τρεῖς κέκληται κράσεις· τὴν μὲν πρώτην, ἡδονῆς· τὴν δὲ δευτέραν,

[illegible]. ὑπὸ σπατάλης.



μέθης· τὴν δὲ τρίτην, ὕβρεως. καὶ ὑμεῖς οὖν πεπωκότες ἤδη καὶ ἡσθέντες, τὰ ἐφεξῆς καταλίπετε. καὶ ὁ ξάνθος, ἤδη μεθύων φησὶ σιώπα. τοῖς ἐν ᾅδῃ συμβούλευε. καὶ ὁ αἴσωπος, οὐκοῦν καὶ εἰς ᾅδου κατασπασθήσῃ. τῶν δὲ σχολαστικῶν τις ὑποβεβρεγμένον ἤδη τῇ μέθῃ τὸν ξάνθον ἰδὼν, καὶ ὅλον εἰπεῖν οἰνοπλῆγα, καθηγητά, φησι, δύναταί τις ἐκπιεῖν τὴν θάλατταν ἄνθρωπος; καὶ ὅς, πάνυ μὲν οὖν. ἐγὼ γὰρ αὐτὸς ταύτην ἐκπίομαι. καὶ ὁ σχολαστικὸς· εἰ δ' οὐ δυνήσῃ, τί περί σου ἐπιτίμημα ἐπιγράψω; καὶ ὁ ξάνθος, τὴν οἰκίαν μου τίθημι πᾶσαν. καὶ ἐπὶ τούτοις καταθέμενοι τοὺς δακτυλίους, τὰς συνθήκας ἐκύρωσαν. τότε μὲν οὖν διελύθησαν. τῇ δ' ὑστεραίᾳ πρωΐας ἐξεγερθέντος τοῦ ξάνθου, καὶ τὴν πρόσοψιν νιψαμένου, καὶ τὸν δακτύλιον ἐν τῷ νίπτεσθαι μὴ ἰδόντος, καὶ τὸν αἴσωπον περὶ αὐτοῦ πυνθομένου, ἐκεῖνος οὐκ οἶδά φησι, τί ποτε γέγονεν. ἓν δ' οἶδα μόνον, ὅτι τῆς οἰκίας σαυτοῦ ἀλλότριος γέγονας. καὶ ὁ ξάνθος, διὰ τί δή; καὶ ὁ αἴσωπος, ὅτι τὴν χθὲς μεθύων, συνέθου τὴν θάλατταν ἐκπιεῖν. κἀπὶ ταῖς ὁμολογίαις κατέθου καὶ τὸν δακτύλιον. κἀκεῖνος, καὶ πῶς ἄρ' ἐγὼ μείζονα πίστεως ἔργον δυνήσομαι; ἀλλά σου νῦν δέομαι, εἴ τις σύνεσις, εἴ τις δεινότης καὶ ἐμπειρία, ξυμπορίσασθαι, καὶ βοήθειαν ὄρεγε, ὡς περιγενέσθαι, ἢ τάς γε συνθήκας λῦσαι. καὶ ὁ αἴσωπος, περιγενέσθαι μὲν οὐκ ἔνι, λυθῆναι δὲ τὰς ὁμολογίας ποιήσω. ἐπειδὰν γοῦν αὖθις τήμερον εἰς ταυτὸ συνέλθητε, μηδ' ὁπωσοῦν φανῇς δειλιάσας· ἀλλ' ἅπερ ὡμολόγησας παροινῶν, ταῦτα καὶ νήφων λέγε. κέλευσον μέν τοι στρώματα καὶ τράπεζαν παρὰ τὴν ἠϊόνα τεθῆναι, καὶ παῖδας ἑτοίμους σὺν ἐκπώμασιν

ὅτι.

Universidad de Deusto Biblioteca



ἐκπώμασιν ὀρέγειν σοι τὸ θαλάττιον ὕδωρ. ἐπειδὰν δὲ σύμπαντα θεάσῃ τὸν ὄχλον συνδεδραμηκότα ἐπὶ τὴν θέαν, αὖθις ἀναπεσών, κέλευσον ἐκ τῆς θαλάττης πληρωθῆναι τὸ ἔκπωμα. καὶ τοῦτο λαβὼν ἐν ἐπηκόῳ πάντων, εἰπὲ τῷ συνθηκοφύλακι, τίνας περὶ ὑμῖν πεποιήκαμεν τὰς συνθήκας; καὶ ὃς ἀποκρινεῖταί σοι, ὡς ὡμολόγησας τὴν θάλασσαν ἐκπιεῖν. γραφεὶς οὖν σὺ πρὸς ἅπαντας, οὕτω φράσον· ἄνδρες σάμιοι ἴστε καὶ ὑμεῖς πάντως πλείστους ὅσους ποταμοὺς ἐκβάλλοντας εἰς τὴν θάλασσαν. ἐγὼ δὲ συνεθέμην μόνην τὴν θάλατταν ἐκπιεῖν, οὐ μὴν καὶ τοὺς εἰσιόντας εἰς αὐτὴν ποταμούς. οὗτος οὖν ὁ σχολαστικὸς ἀπελθὼν πρότερον, ἐπισχέτω τοὺς ποταμοὺς ἅπαντας, εἶτα δ' εὐθὺς ἐγὼ τὴν θάλατταν μόνην ἐκπίομαι. ὁ δὲ ξάνθος τὴν μέλλουσαν ἐκ τούτου τῆς συνθήκης διάλυσιν ἔσεσθαι γνούς, ὑπερήσθη. τοῦ δήμου τοίνυν παρὰ τὸν αἰγιαλὸν συῤῥεύσαντος εἰς θέαν τοῦ πραχθήσεσθαι μέλλοντος, καὶ τοῦ ξάνθου ἤδη τὰ διδαχθέντα πρὸς τοῦ αἰσώπου δράσαντος καὶ εἰπόντος, οἱ σάμιοι ἀνεβόησαν εὐφημοῦντες αὐτόν, καὶ θαυμάζοντες. ὁ δὲ σχολαστικὸς προσπεσὼν τηνικαῦτα τῷ ξάνθῳ, νενικῆσθαί τε ὡμολόγει· καὶ τὰς συνθήκας ἐδεῖτο λῦσαι, ὃ καὶ πεποίηκε ξάνθος δυσωποῦντος τοῦ δήμου. ἀφικομένων δ' αὐτῶν εἰς τὴν οἰκίαν, αἴσωπος προσελθὼν τῷ ξάνθῳ, φησίν· ὁ πάντας σοι τὸν βίον χαρισάμενος, ἐγώ. οὐκ οὖν ἄξιός εἰμι δέσποτα τυχεῖν ἐλευθερίας; καὶ ὁ ξάνθος λοιδορήσας αὐτὸν ἀπήλασε, λέγων· μὴ γὰρ οὐ βουλομένῳ μοι ἦν τοῦτο πρᾶξαι; ἀλλ' ἔξελθε πρὸ τοῦ πυλῶνος, καὶ σκέψαι. κἂν ἴδῃς δύο κορώνας, ἀνάγγειλόν μοι, ἀγαθὸς γὰρ οἰωνὸς οὗτος· ἐπεὶ εἰ μίαν ἴδῃς, τοῦτο πονηρόν.

p. en la Isla de Sa// mo pasaba esto.

: πάν legito.

πονηρόν.



πονηρόν. προσελθὼν οὖν ὁ αἴσωπος, καὶ συμβὰν οὕτω δύο κορώνας ἐπί τινος ἰδὼν δένδρου καθεζομένας, προσελθὼν τῷ ξάνθῳ ἀνήγγειλεν. ἐξιόντι δὲ τῷ ξάνθῳ, ἡ ἑτέρα τούτων ἀπέπτη. καὶ ὁ ξάνθος θατέραν μόνην ἰδών, ἔφη, οὐκ εἶπάς μοι κατάρατε δύο ἑωρακέναι; καὶ ὅς, οὕτως. ἀλλ' ἡ ἑτέρα ἀπέπτη. καὶ ὁ ξάνθος, ἐπέλιπέ σοι δραπέτα τὸ χλευάζειν με. καὶ κελεύει αὐτὸν γυμνωθέντα τύπτεσθαι. τοῦ δ' αἰσώπου μαστιγουμένου, προσελθών τις ἐκάλει ἐπὶ τὸ δεῖπνον τὸν ξάνθον. καὶ ὁ αἴσωπος ἔτι τυπτόμενος ἀνεβόησεν· οἴμοι τῷ δυστήνῳ. ἐγὼ μὲν γὰρ ὁ τὸ δικόρωνον ἰδών, τύπτομαι· σὺ δ' ὁ μίαν ἰδὼν μόνην, εἰς εὐωχίαν ἄπει. ἔωλος ἄρ' ἦν ἡ οἰωνοσκοπία. καὶ ὁ ξάνθος τὸ ἀγχίνουν αὐτοῦ θαυμάσας, παύεσθαι κελεύει τὸν τυπτόμενον. μετὰ δ' οὐ πολλὰς ἡμέρας φιλοσόφους καὶ ῥήτορας καλέσας ὁ ξάνθος, ἐκέλευε τῷ αἰσώπῳ πρὸ τοῦ πυλῶνος στῆναι, καὶ μηδένα τῶν ἰδιωτῶν εἰσελθεῖν συγχωρῆσαι, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους. τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας αἴσωπος τὸν πυλῶνα, ἔσω ἐκαθέσθη. τῶν κεκλημένων δέ τινος ἐλθόντος, καὶ τὴν θύραν κόπτοντος, αἴσωπος ἔνδοθεν, ἔφη· τί σείει ὁ κύων; ὁ δὲ νομίσας κύων κεκλῆσθαι, ὀργισθεὶς ἀνεχώρησεν. οὕτως οὖν ἕκαστος ἀφικνούμενος, αὖθις ἀπῄει σὺν ὀργῇ, νομίζων ὑβρίζεσθαι, τοῦ αἰσώπου ταυτὰ πάντας ἔνδοθεν ἐρωτῶντος. ἑνὸς δ' αὖ τῶν κόψαντος, καὶ τί σείει ὁ κύων ἀκούσαντος, καὶ τήν τε κέρκον, καὶ τὰ ὦτα ἀποκριθέντος, αἴσωπος αὐτὸν ὀρθῶς δοκιμάσας ἀποκεκρίσθαι, ἀνοίξας πρὸς τὸν δεσπότην ἤγαγε, καὶ φησίν, οὐδεὶς τῶν φιλοσόφων συνεστιαθῆναί σοι, ἦλθεν ὦ δέσποτα, πλὴν οὗτος μόνος. καὶ ὁ ξάνθος σφόδρα ἠθύμησε, παραλελογίσθαι οἰηθεὶς ὑπὸ τῶν κληθέντων

f. fribola - ἔωλος.

θέντων

Universidad de Deusto Biblioteca

θούντων. τῆς δ' ὑστεραίας συνελθόντων οἱ κληθέντες ἐπὶ τὴν διατριβὴν, ἐνεκάλουν τῷ ξάνθῳ, φάσκοντες ὡς ἔοικας ὦ καθηγητὰ, ἐπεθύμεις μὲν αὐτὸς ἐξουδενῶσαι ἡμᾶς. αἰδούμενος δὲ τὸν σαπρὸν ἐπὶ τῷ πυλῶνι ἔστησας αἴσωπον, ὡς προπηλακίσαι, καὶ κύνας ἡμᾶς ἀποκαλέσαι. καὶ ὁ ξάνθος, ὄναρ τοῦτ' ἐστὶν, ἢ ὕπαρ; κἀκεῖνοι, εἰ μὴ ῥέγχομεν, ὕπαρ. καὶ δὴ τάχος μετακληθεὶς αἴσωπος, καὶ ἐρωτηθεὶς σὺν ὀργῇ τοῦ χάριν τοὺς φίλους ἀτίμως ἀπέστρεψεν, ἔφη· οὐχὶ σύ μοι δέσποτα ἐνετείλω, μήτινα τῶν ἰδιωτῶν καὶ ἀμαθῶν ἀνδρῶν ἐᾶσαι πρὸς τὴν σὴν συνελθεῖν εὐωχίαν, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους; καὶ ὁ ξάνθος, καὶ τίνες οὗτοι, οὐ τῶν σοφῶν; καὶ ὁ αἴσωπος, οὐδεμιᾷ μηχανῇ. αὐτῶν γὰρ κρουόντων τὴν θύραν, κἀμοῦ ἔνδοθεν ἐρωτῶντος, τί τὸ σείει ὁ κύων, οὐδ' εἷς οὖν αὐτῶν συνῆκε τὸν λόγον. ἐγὼ γοῦν ὡς ἀμαθῶν πάντων φανέντων, οὐδένα τούτων εἰσήγαγον, πλὴν τοῦ σοφῶς ἐμοῦ ἀποκριθέντα μοι. οὕτως οὖν τοῦ αἰσώπου ἀπολελογημένου, ὀρθῶς ἅπαντες λέγειν αὐτὸν ἐψηφίζοντο. καὶ μεθ' ἡμέρας πάλιν τινὰς ὁ ξάνθος ἑπομένου τοῦ αἰσώπου, πρὸς τὰ μνήματα προελθὼν, καὶ τὰ ἐν ταῖς λάρναξιν ἐπιγράμματα ἠρέμα ἀναγινώσκων, ἑαυτὸν ἔτερπε. τοῦ δ' αἰσώπου ἔν τινι τούτων ἐγκεχαραγμένα στοιχεῖα ταῦτα ἰδόντος, α, β, δ, ο, ε, θ, χ, ἐπιδείξαντός τε τῷ ξάνθῳ, καὶ ἐρομένου εἰ ἄρα ταῦτα εἰδείη, ἐπιμελῶς ἐκεῖνος σκεψάμενος, οὐχ οἷός τ' ἐγένετο τὴν τούτων εὑρεῖν διασάφησιν, καὶ ὡμολόγησεν ἀπορεῖσθαι τοῖς ὅλοις. καὶ ὁ αἴσωπος, εἰ διὰ ταύτης τῆς στήλης ὦ δέσποτα θησαυρὸν ἐπιδείξω σοι, τίνι με ἀμείψῃ; καὶ ὅς, θάρσει. λήψῃ γὰρ τὴν ἐλευθερίαν,

σὺ,

sed veritus

ῥέγχομεν : stertebam. // stertimus // ὕπαρ.

πλὴν. praeter. vel nisi.



σὺ, καὶ τὸ ἥμισυ τοῦ χρυσίου. τότε ὁ αἴσωπος ἀπέχων τῆς στήλης βήματα τέσσαρα, καὶ ὀρύξας, ἀνέλαβέ τε τὸν θησαυρὸν, καὶ ἤνεγκε τῷ δεσπότῃ, λέγων, δός μοι τὴν ἐπαγγελίαν, δι' ἧς εὗρες τὸν θησαυρόν. καὶ ὁ ξάνθος, οὐχ ὅσα κἀμὲ εἰδέναι, εἰ μὴ καὶ τὸν νοῦν τῶν στοιχείων μοι φράσῃς. τὸ γὰρ μαθεῖν τοῦτο, πολὺ τοῦ εὑρήματος ἐμοὶ τιμιώτερον. ὁ δ' αἴσωπος, ὁ τὸν θησαυρὸν κατορύξας ἐνταῦθα, ὡς σοφὸς ἀνὴρ τὰ στοιχεῖα διεχάραξε ταῦτα ἅ καί φησιν, α ἀποβὰς, β βήματα, δ τέσσαρα, ο ὀρύξας, ε εὑρήσεις, θ θησαυρὸν, χ χρυσίου. καὶ ὁ ξάνθος, ἐπειδὴ πρὸς οὕτως ἐπίβολος εἶ καὶ πανοῦργος, οὐ λήψῃ σὺ τὴν ἐλευθερίαν. καὶ ὁ αἴσωπος, ἀναγγελῶ δοθῆναι ὦ δέσποτα τὸ χρυσίον τῷ βασιλεῖ βυζαντίων. ἐκείνῳ γὰρ ἀποτεταμίευται. καὶ ὁ ξάνθος, πόθεν τοῦτ' οἶδας; κἀκεῖνος, ἐκ τῶν στοιχείων. τοῦτο γάρ φησιν. α, ἀπόδος, β βασιλεῖ, δ διονυσίῳ, ο ὃν, ε εὗρες, θ θησαυρὸν, χ χρυσίου. καὶ ὁ ξάνθος ἀκούσας τοῦ βασιλέως εἶναι τὸ χρυσίον, τῷ αἰσώπῳ ἔφη· λαβὼν τὸ ἥμισυ τοῦ ἑρμαίου, ἡσύχασον. κἀκεῖνος, οὐ σύ μοι νῦν τοῦτο παρέχεις, ἀλλ' ὁ χρυσίον ἐνταυθοῖ κατορύξας. καὶ ὅπως, ἄκουσον. τοῦτο λέγει τὰ γράμματα. α ἀνελόμενοι, β βαδίζοντες, δ διέλεσθε, ο ὃν, ε εὕρετε, θ θησαυρὸν, χ χρυσίου. καὶ ὁ ξάνθος δεῦρό φησιν, εἰς τὴν οἰκίαν, ὡς ἂν καὶ τὸν θησαυρὸν διελώμεθα, καὶ σὺ τὴν ἐλευθερίαν ἀπολάβῃς. ἐλθόντων οὖν ὁ ξάνθος φοβούμενος τὸ τοῦ αἰσώπου λάλον, εἰς εἱρκτὴν αὐτὸν ἐκέλευσεν ἐμβληθῆναι. καὶ ὁ αἴσωπος ἀπαγόμενος, τοιαῦταί φησιν εἰσὶν αἱ ὑποσχέσεις τῶν φιλοσόφων; οὐχ ὅτι γὰρ οὐκ ἀπολαμβάνω μὲν τὴν ἐλευθερίαν, ἀλλὰ καὶ εἰς δεσμωτήριον κελεύεις βληθῆναί με. ὁ μὲν οὖν ξάνθος ἐκέλευσεν αὐτὸν ἀπολυθῆναι.

καὶ πρὸς

ἕρμαιον. // res inventa. // lucrum vt // plana. 93.

Universidad de Deusto
Biblioteca



καὶ πρὸς αὐτὸν ἔφη· πάνυ καλῶς φῂς, ἵν' ἐλευθερίας τυχὼν, σφοδρότερός μου γένῃ κατήγορος. ὁ δὲ αἴσωπος εἶπεν, ὅ, τί ποτέ με ἔχεις κακὸν ποιεῖν, ποίει πάντως, καὶ ἄκων ἐλευθερώσεις με. κατὰ δὲ τοὺς καιροὺς τούτους, συνέπεσέ τι τοιοῦτον ἐν σάμῳ. πανδήμου ἑορτῆς ἀγομένης, αἴφνης ἀετὸς καταπτὰς, καὶ τὸν δημόσιον ἁρπάσας δακτύλιον εἰς δούλου κόλπον ἀφῆκεν. οἱ μὲν οὖν σάμιοι θορυβηθέντες, καὶ εἰς πλείστην περὶ τοῦδε τοῦ σημείου πεσόντες τὴν ἀγωνίαν, καὶ ἐπὶ ταὐτὸν ἀθροισθέντες, ἤρξαντο δεῖσθαι τοῦ ξάνθου, ἅτε πρώτου τῶν πολιτῶν ὄντος καὶ φιλοσόφου σφίσι τὴν κρίσιν τοῦ σημείου διασαφῆσαι. ὁ δὲ τοῖς ὅλοις ἐπαπορῶν, χρόνον ᾔτησε. καὶ ἀφικόμενος οἴκαδε, πολὺς ἦν ἀθυμῶν, καὶ τῇ λύπῃ βαπτιζόμενος, οἷα δὴ μηδὲν κρῖναι δυνάμενος. ὁ δ' αἴσωπος τὴν ἀθυμίαν συννοήσας τοῦ ξάνθου, προσελθὼν, λέγει· τοῦ χαίρειν, ὦ δέσποτα, οὕτω διατελεῖς ἀθυμῶν· ἐμοὶ προσανάθου, χαίρειν εἰπὼν τῷ λυπεῖσθαι. αὔριον δ' εἰς ἀγορὰν προσελθὼν, εἰπὲ τοῖς σαμίοις, ὡς ἐγὼ μὲν οὔτε σημειολυτεῖν ἐπαιδεύθην, οὔτ' οἰωνοσκοπεῖν. παῖς δέ μοι πρόσεστι πολλῶν πεῖραν εἰδὼς, αὐτὸς ὑμῖν τὸ ζητούμενον λύσει. κἂν μὲν αὐτὸς ἐπιτύχω τῆς λύσεως δέσποτα, σὺ τὴν δόξαν ἀποίσῃ, τοιούτῳ χρώμενος δούλῳ. ἂν δ' ἀποτύχω, ἐμοὶ μόνῳ ἡ ἐντεῦθεν προστριβήσεται ὕβρις. πεισθεὶς οὖν ὁ ξάνθος, τῆς ὑστεραίας εἰς τὸ θέατρον ἀπαντήσας, καὶ καταστὰς εἰς τὸ μέσον, κατὰ τὰς ὑποθήκας αἰσώπου διελέχθη τοῖς συνελθοῦσιν. οἱ δ' εὐθέως ἠξίουν τὸν αἴσωπον κληθῆναι. τοῦ δ' ἀφικομένου καὶ στάντος ἐπὶ τοῦ μέσου, οἱ σάμιοι τὴν ὄψιν αὐτοῦ κατανοήσαντες, ὑπεχλευάζοντες ἐφώνουν, αὕτη ἡ ὄψις σημεῖον λύσει; ἐκ τοῦ αἰσχροῦ τούτου τί ποτε

καλὸν

Samos yn // Sula.



καλὸν ἀκουσόμεθα; καὶ γελᾶν ἤρξαντο. καὶ ὁ αἴσωπος κατασείσας τῇ χειρὶ, καὶ ἡσυχίαν αἰτήσας γενέσθαι, φησίν· ἄνδρες σάμιοι, τί μου τὴν ὄψιν σκώπτετε. οὐκ εἰς τὴν ὄψιν, ἀλλ' εἰς τὸν νοῦν ἀποβλέπειν χρή. πολλάκις γὰρ καὶ τῇ φαύλῃ μορφῇ χρηστὸν νοῦν ἡ φύσις ἐνέθηκεν. ἢ τὴν ἔξωθεν τῶν κεραμίων μορφὴν σκοπεῖτε ὑμεῖς, ἀλλ' οὐ τὴν ἐντὸς γεῦσιν τοῦ οἴνου; ταῦτα τοῦ αἰσώπου πάντες ἀκούσαντες, ἔλεγον· αἴσωπε, εἴ τι δύνασαι, λέγε τῇ πόλει. καὶ ὃς μετὰ παρρησίας ἔφη· ἄνδρες σάμιοι, ἐπειδήπερ ἡ τύχη φιλόνεικος οὖσα δόξης ἀγῶνα τέθεικε δεσπότῃ καὶ δούλῳ, κἂν μὲν ὁ δοῦλος ἥττων φανῇ τοῦ δεσπότου, μετὰ μαστίγων ἐλάσεται· εἰ δ' ἀμείνων, οὐδὲν ἔλαττον καὶ οὕτω πληγαῖς ξανθήσεται. εἰ ὑμεῖς δὲ τῆς ἐμῆς ἐλευθερίας παρρησίαν χαρίσοισθέ μοι, ἐγὼ νῦν ὑμῖν ἀδεῶς τὰ ζητούμενα φράσω. τότε ὁ δῆμος ἀπὸ μιᾶς γλώττης πρὸς τὸν ξάνθον ἐβόων, ἐλευθέρωσον αἴσωπον, ὑπάκουσον σαμίοις, χάρισαι τὴν ἐλευθερίαν αὐτοῦ τῇ πόλει. ὁ δὲ ξάνθος, οὐκ ἐπῄνει. καὶ ὁ πρύτανις ἔφη· ξάνθε εἰ μή σοι δοκεῖ ὑπακοῦσαι τῷ δήμῳ, ἐγὼ τῆς δὲ τῆς ὥρας αἴσωπον ἐλεύθερον ἂν ποιήσαιμι, καὶ τότε σοι ὁμότιμος ἔσται. τηνικαῦτα τοίνυν ὁ ξάνθος ἀνάγκῃ τὴν ἐλευθερίαν ἀπέδωκε. καὶ ὁ κῆρυξ ἐβόα, ξάνθος ὁ φιλόσοφος ἐλευθεροῖ σαμίοις τὸν αἴσωπον. κἂν τούτῳ πέρας ὁ τοῦ αἰσώπου λόγος εἰλήφει, φαμένου πρὸς τὸν ξάνθον, ὡς καὶ ἄκων ἐλευθερώσεις με. αἴσωπος οὖν ἐλευθερίας τυχὼν, στὰς εἰς τὸ μέσον, ἔφη· ἄνδρες σάμιοι, ὁ μὲν ἀετὸς, ὡς ἴστε, βασιλεὺς τῶν ὀρνίθων ἐστίν. ὅτι δὲ τὸν στρατηγικὸν δακτύλιον οὗτος ἁρπάσας, ἀφῆκεν εἰς δούλου κόλπον, τοῦτο σημειώσειν βούλεται;

aquel abeb yno // gallinab. Scd // plana·III· Son // gallinab.

C ται;

Universidad de Deusto
Biblioteca



ται, ὅτι τῶν νῦν βασιλέων τις βούλεται ὑμῶν τὴν ἐλευθερίαν δουλῶσαι, καὶ τοὺς κυρίους νόμους ἀκύρους δεῖξαι. ταῦτα οἱ μὲν σάμιοι ἀκούσαντες, κατηφείας ἐπλήσθησαν. μετ' οὐ πολὺν χρόνον γράμματα παρὰ κροίσου τοῦ λυδῶν βασιλέως ἧκει σαμίοις, κελεύοντα τὸ ἀπὸ τοῦδε φόρους αὐτῷ παρέχειν· εἰ δὲ μὴ πείθοιντο, πρὸς μάχην ἑτοίμους εἶναι. ἐβουλεύσαντο μὲν οὖν ἅπαντες. ἔδεισαν γὰρ ὑπήκοοι γενέσθαι τῷ κροίσῳ. συνοῖσον μέντοι εἶναι, καὶ αἴσωπον ἐρωτῆσαι. κἀκεῖνος ἐρωτηθεὶς, εἶπε· τῶν ἀρχόντων ὑμῶν γνώμην δεδωκότων εἰς φόρους ἀπαγωγὴν ὑπακούειν τῷ βασιλεῖ, συμβουλὴν μὲν οὐδ' ὥς, λόγον δὲ ἐρῶ ὑμῖν, καὶ εἴσεσθε τὸ συμφέρον. ἡ τύχη δύο ὁδοὺς ἔδειξεν ἐν τῷ βίῳ· θατέραν μὲν ἐλευθερίας, ἧς ἡ μὲν ἀρχὴ δύσβατος, τὸ δὲ τέλος ὁμαλόν· θατέραν δὲ δουλείας, ἧς ἡ μὲν ἀρχὴ, εὐπετής τε καὶ βάσιμος, τὸ δὲ τέλος ἐπώδυνον. ταῦτα ἀκούσαντες οἱ σάμιοι, ἀνεβόησαν· ἡμεῖς ἐλεύθεροι ὄντες, ἑκόντες οὐ γινόμεθα δοῦλοι. καὶ τὸν πρεσβευτὴν οὐ σὺν εἰρήνῃ ἀπέπεμψαν. ὁ μὲν οὖν κροῖσος ταῦτα μαθὼν, ἐβουλεύσατο πόλεμον κατὰ σαμίων κινεῖν. ὁ δὲ πρεσβευτὴς ἀνήνεγκεν, ὡς οὐκ ἂν δυνηθείη σαμίους ὑπὸ χεῖρα λαβεῖν, αἰσώπου παρ' αὐτοῖς ὄντος, καὶ γνώμας ὑποτιθέντος. δυνήσῃ δὲ μᾶλλον, εἶπεν, ὦ βασιλεῦ, πρέσβεις ἀποστείλας, αἰτῆσαι παρ' αὐτῶν αἴσωπον, ὑπισχνούμενος αὐτοῖς ἀντ' αὐτοῦ χάριτας ἄλλας τε δώσειν, καὶ λύσιν τῶν ἐπιτεταγμένων φόρων. καὶ τότε τάχα οἷός τε ἔσῃ περιγενέσθαι τούτων. ἔφη ὁ μὲν κροῖσος κατὰ ταῦτα πρεσβευτὴν ἀποστείλας, ἐκδοῦναι ᾔτει τὸν αἴσωπον. σάμιοι δὲ τοῦτον ἐκδόσθαι γνώμης ἐγένοντο. αἴσωπος δὲ τοῦτο μαθὼν, ἐν μέσῳ δὲ τῆς ἀγορᾶς ἔστη. καὶ φησὶν, ἄν-

ἄνδρες

Croesus Lydorum rex regnabat // Sardis.



δρες σάμιοι, κἀγὼ μὲν περὶ πολλοῦ ποιοῦμαι παρὰ τοὺς πόδας ἀφικέσθαι τοῦ βασιλέως. ἐθέλω δὲ ὑμῖν ἕνα μῦθον εἰπεῖν. καθ' ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν. τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι, καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι πρεσβευτὴν ἀποστείλαντες, ἔφασαν τοῖς προβάτοις, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ, καὶ μηδένα πόλεμον ὑποπτεύειν, τοὺς κύνας αὐτοῖς ἐκδοῦναι. τῶν δὲ προβάτων ὑπ' ἀνοίας πεισθέντων, καὶ τοὺς κύνας ἐκδεδωκότων, οἱ λύκοι τούς τε κύνας διεσπάραξαν, καὶ τὰ πρόβατα ῥᾷστα διέφθειραν. οἱ σάμιοι τοίνυν τὸ τοῦ μύθου βούλημα συννοήσαντες, ὥρμησαν μὲν παρ' ἑαυτοῖς κατασχεῖν τὸν αἴσωπον. ὁ δὲ οὐκ ἠνέσχετο. ἀλλὰ τῷ πρεσβευτῇ συναποπλεύσας, πρὸς κροῖσον ἀπῆλθεν. ἀφικομένων δ' αὐτῶν εἰς λυδίαν, ὁ βασιλεὺς ἐπὶ προσώπου αὐτοῦ στάντα τὸν αἴσωπον θεασάμενος, ἠγανάκτησε λέγων, ἴδε ποταπὸν ἄνθρωπον ἐμποδών μοι γέγονε νῆσον ὑποτάξαι τοσαύτην. ἔφη ὁ αἴσωπος, μέγιστε βασιλεῦ, οὐ βίᾳ, οὐδὲ ἀνάγκῃ πρὸς σὲ παραγενόμενος, ἀλλ' αὐθαίρετος πάρειμι. ἀνάσχου δέ μου μικρὸν ἀκοῦσαι. ἀνήρ τις ἀκρίδας συλλέγων, καὶ ἀποκτιννὺς, εἷλε καὶ τέττιγα. ἐπεὶ δὲ κἀκεῖνον ἐβούλετο κτεῖναι, φησὶν ὁ τέττιξ· ἄνθρωπε μή με μάτην ἀνέλῃς. ἐγὼ γὰρ οὔτε στάχυν βλάπτω, οὔτ' ἄλλο τι τῶν ἁπάντων σε ἀδικῶ. τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ φθέγγομαι, τέρπων τοὺς ὁδοιπόρους. φωνῆς οὖν παρ' ἐμοὶ πλέον οὐδὲν εὑρήσεις. κἀκεῖνος ταῦτα ἀκούσας, ἀφῆκεν ἀπιέναι. κἀγὼ γοῦν ὦ βασιλεῦ τῶν σῶν ποδῶν ἅπτομαι, μή με εἰκῇ φονεύσῃς. οὐδὲ γὰρ οἷός τε εἰμὶ ἀδικῆσαί τινα. ἐν εὐτελείᾳ δὲ σώματος γενναίους φθέγγομαι λόγους. ὁ δὲ βασιλεὺς θαυμάσας ἅμα

Samos est Insula


καὶ

Universidad de Deusto
Biblioteca



καὶ οἰκτείρας αὐτὸν, ἔφη, αἴσωπε, οὐκ ἂν ἐγώ σοι δίδωμι τὸ ζῆν, ἀλλ' ἡ μοῖρα. ὃ γοῦν θέλεις, αἴτει, καὶ λήψῃ. καὶ ὅς· δέομαί σου, βασιλεῦ, διαλλάγηθι σαμίοις. τοῦ δὲ βασιλέως εἰπόντος, διήλλαγμαι, πεσὼν ἐκεῖνος ἐπὶ τὴν γῆν, χάριτάς τε αὐτῷ ὡμολόγει. καὶ μετὰ ταῦτα τοὺς οἰκείους συγγραψάμενος μύθους, τοὺς μέχρι καὶ νῦν φερομένους, παρὰ τῷ βασιλεῖ κατέλιπε. δεξάμενος δὲ παρ' αὐτοῦ γράμματα πρὸς σαμίους, ὡς ἕνεκεν αἰσώπου τούτοις διήλλακται, καὶ δῶρα πολλὰ, πλεύσας ἐπανῆλθεν εἰς σάμον. οἱ μὲν οὖν σάμιοι τοῦτον ἰδόντες, στέμματά τε αὐτῷ προσήνεγκαν, καὶ χοροὺς ἐπ' αὐτῷ συνεστήσαντο. ὁ δ' αὐτοῖς τά τε τοῦ βασιλέως ἀνέγνω γράμματα, καὶ ἀπέδειξεν ὡς τὴν εἰς αὐτὸν γενομένην παρὰ τοῦ δήμου ἐλευθερίαν, ἐλευθερίᾳ πάλιν ἠμείψατο. μετὰ δὲ ταῦτα τῆς νήσου ἀπάρας, περιῄει τὴν οἰκουμένην, τοῖς ἁπανταχοῦ τῶν φιλοσόφων διαλεγόμενος. ἀφικόμενος δὲ καὶ πρὸς βαβυλῶνα, καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδειξάμενος, μέγας παρὰ τῷ βασιλεῖ λυκήρῳ ἐγένετο. κατ' ἐκείνους γὰρ τοὺς χρόνους οἱ βασιλεῖς πρὸς ἀλλήλους εἰρήνην ἔχοντες, καὶ τέρψεως χάριν προβλήματα τῶν σοφιστικῶν πρὸς ἀλλήλους γράφοντες ἔπεμπον. ἅπερ οἱ μὲν ἐπιλυόμενοι, φόρους ἐπὶ ῥητοῖς πρὸς τῶν πεμπόντων, ἐλάμβανον· οἱ δὲ μὴ, τοὺς ἴσους παρεῖχον. ὁ τοίνυν αἴσωπος τὰ πεμπόμενα τῶν προβλημάτων λυκήρῳ συνὼν ἐπέλυε, καὶ εὐδοκιμεῖν ἐποίει τὸν βασιλέα. καὶ αὐτὸς δὲ διὰ λυκήρου ἕτερα τοῖς βασιλεῦσιν ἀντέπεμπεν. ὧν ἀλύτων μενόντων, φόρους ὁ βασιλεὺς ὅτι πλείστους εἰσέπραττεν. αἴσωπος δὲ μὴ παιδοποιησάμενος, ἕνα τινὰ τῶν εὐγενῶν

:λύκηρος· rex babilonje·





ἔννον τὴν κλῆσιν εἰσεποιήσατό τε, καὶ ὡς γνήσιον, παῖδα τῷ βασιλεῖ προσενέγκας, συνέστησε. μετὰ δ' οὐ πολὺν χρόνον τοῦ ἔννου τῇ τοῦ θεμένου παλλακῇ συμφθαρέντος, αἴσωπος τοῦτο γνοὺς, ἀπελαύνειν ἔμελλε τῆς οἰκίας. ὁ δὲ τῇ κατ' ἐκείνου ὀργῇ ληφθεὶς, ἐπιστολήν τε πλασάμενος παρ' αἰσώπου δῆθεν πρὸς τοὺς ἀντισοφιζομένους λυκήρῳ, ὡς αὐτοῖς ἕτοιμός ἐστι προστίθεσθαι μᾶλλον ἢ τῷ λυκήρῳ, τῷ βασιλεῖ ἐνεχείρησε, τῷ τοῦ αἰσώπου ταύτην σφραγισάμενος δακτυλίῳ. ὁ δὲ βασιλεὺς τῇ τε σφραγῖδι πεισθεὶς, καὶ ἀπαραιτήτῳ ὀργῇ χρησάμενος, παραχρῆμα τῷ ἑρμίππῳ κελεύει μηδὲν ἐξετάσαντα, οἷα δὴ προδότην διαχειρίσασθαι αἴσωπον. ὁ δὲ ἕρμιππος φίλος τε ὢν τῷ αἰσώπῳ, καὶ τότε δὴ τὸν φίλον ἐπέδειξεν. ἔν τινι γὰρ τῶν τάφων, μηδενὸς εἰδότος, κρύψας τὸν ἄνθρωπον, ἐν ἀπορρήτοις ἔτρεφεν. ἔννος δὲ τοῦ βασιλέως κελεύσαντος, πᾶσαν τὴν διοίκησιν αἰσώπου παρέλαβε. μετὰ δέ τινα χρόνον νεκτεναβὼ βασιλεὺς αἰγυπτίων πυθόμενος αἴσωπον τεθνηκέναι, πέμπει λυκήρῳ παραχρῆμα ἐπιστολὴν, οἰκοδόμους αὐτῷ ἀποστεῖλαι κελεύουσαν, οἳ πύργον οἰκοδομήσουσι, μήτ' οὐρανοῦ, μήτε γῆς ἁπτόμενον, καὶ τὸν ἀποκρινούμενον ἀεὶ πρὸς πάνθ' ὅσα ἂν ἐρωτῶσι. καὶ τοῦτο ποιήσαντα, φόρους εἰσπράττειν· εἰ δὲ μὴ, κατατίθεσθαι. ταῦτα τῷ λυκήρῳ ἀναγνωσθέντα, ἀθυμίαν ἐνέβαλε, μηδενὸς τῶν φίλων δυναμένου τὸ πρόβλημα τὸ περὶ τοῦ πύργου συνεῖναι. ὁ μέντοι βασιλεὺς, καὶ κίονα τῆς ἑαυτοῦ βασιλείας ἔλεγεν ἀπολωλεκέναι τὸν αἴσωπον. ἕρμιππος δὲ τὴν τοῦ βασιλέως δι' αἴσωπον λύπην μαθὼν, προσῆλθέ τε τῷ βασιλεῖ, καὶ ζῆν ἐκεῖνον εὐηγγε-

:διαχειρίσασθαι. occidere.

:νεκτεναβώς

Universidad de Deusto Biblioteca

λύσαιτο, προσθεὶς αὐτῷ δὴ χαίρειν αὐτὸν οὐκ ἀνεῖλεν, εἰδὼς ὡς μελήσει ποτὲ τῷ βασιλεῖ τῆς ἀποφάσεως. τοῦ δὲ βασιλέως διαφόρως ἐπὶ τούτοις ἀθυμοῦντος, Αἴσωπος ῥυπῶν καὶ αὐχμῶν ὅλος προσηνέχθη. ὁ δὲ τοῦ βασιλέως ὡς εἶδεν αὐτὸν, δακρύσαντος, λούσασθαί τε καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιωθῆναι κελεύσαντος, Αἴσωπος μετὰ ταῦτα καὶ ὑπὲρ ὧν κατηγορήθη τὰς αἰτίας ἀπεσκευάσατο. ἐφ' οἷς καὶ τοῦ βασιλέως τὸν Αἶνον ἀναιρεῖν μέλλοντος, Αἴσωπος αὐτῷ συγγνώμην ᾐτήσατο. ἐπιμένως δὲ τούτοις, ὁ βασιλεὺς τοῦ αἰγυπτίου ἐπιστολὴν τῷ Αἰσώπῳ ἀπέδωκεν ἀναγνῶναι. ὁ δ' αὐτίκα τὴν λύσιν συνεὶς τοῦ προβλήματος, ἐγέλασέ τε, καὶ ἀντιγράφειν ἐκέλευσεν, ὡς ἐπειδὰν χειμὼν παρέλθῃ, πεμφθήσονται τούς τε τὸν πύργον οἰκοδομήσοντας, καὶ τὸν ἀποκρινούμενον πρὸς τὰ ἐπερωτώμενα. ὁ βασιλεὺς οὖν τοὺς μὲν αἰγυπτίους πρέσβεις ἀπέστειλεν. Αἰσώπῳ δὲ τὴν ἐξ ἀρχῆς διοίκησιν ἐνεχείρισεν ἅπασαν, ἔκδοτον αὐτῷ παραδοὺς καὶ τὸν Αἶνον. ὁ δὲ Αἴσωπος παραλαβὼν τὸν Αἶνον, οὐδὲν ἀνιαρὸν αὐτὸν ἔδρασεν. ἀλλ' ὡς υἱῷ πάλιν προσχὼν, ἄλλοις τε καὶ τούτοις ὑπετίθει τοῖς λόγοις· τέκνον, πρὸ πάντων, σέβου τὸ θεῖον. τὸν βασιλέα δὲ τίμα. καὶ τοῖς μὲν ἐχθροῖς σου, δεινὸν σεαυτὸν παρασκεύαζε, ἵνα μὴ καταφρονῶσί σου· τοῖς δὲ φίλοις πρᾷον καὶ εὐμετάδοτον, ὡς εὐνουστέρους σοι μᾶλλον γίνεσθαι. ἔτι τοὺς μὲν ἐχθροὺς νοσεῖν εὔχου καὶ πένεσθαι, ὡς μὴ οἵους τε εἶναι λυπεῖν σε. τοὺς δὲ φίλους κατὰ πάντα, εὖ πράττειν βούλου. ἀεὶ τῇ γυναικί σου χρηστῶς ὁμίλει, ὅπως ἑτέρου ἀνδρὸς πεῖραν μὴ ζητήσῃ λαβεῖν. κοῦφον γὰρ τὸ τῶν γυναικῶν ἐστι φῦλον. καὶ κολακευόμενον ἔλαττω φρονεῖ κακά. ὀξεῖαν μὴ πρὸς λόγον κτῆσαι τὴν ἀκοήν. τῆς δὲ γλώττης ἐγκρα-

[Marginalia: ἡ ἀπόφασις. Simile sbuz plana 1ª — ἀπεσκευάσατο. Se descargo. et plana sequenti dize. συσκευασάμενος. Se cargo.]



τὴς ἔσο. τοῖς εὖ πράττουσι μὴ φθόνει, ἀλλὰ συγχαῖρε· φθονῶν γὰρ, σεαυτὸν μᾶλλον βλάψεις. τῶν οἰκετῶν σου ἐπιμελοῦ, ἵνα μὴ μόνον ὡς δεσπότην σε φοβῶνται, ἀλλὰ καὶ ὡς εὐεργέτην αἰδῶνται. μὴ αἰσχύνου μανθάνειν ἀεὶ τὰ κρείττω. τῇ γυναικὶ μηδέποτε πιστεύσῃς ἀπόρρητα. ἀεὶ γὰρ ὁπλίζεται, πῶς σου κυριεύσει. καθ' ἡμέραν καὶ εἰς τὴν αὔριον ἀποταμιεύου. βέλτιον γὰρ τελευτῶντα ἐχθροῖς καταλεῖψαι, ἢ ζῶντα τῶν φίλων ἐπιδεῖσθαι. εὐπροσήγορος ἔσο τοῖς συναντῶσιν, εἰδὼς ὡς καὶ τῷ κυναρίῳ ἄρτον ἡ οὐρὰ προσπορίζει. ἀγαθὸς γενόμενος, μὴ μετανόει. ψίθυρον ἄνδρα ἔκβαλε σῆς οἰκίας. τὰ γὰρ ὑπὸ σοῦ λεγόμενα, καὶ πραττόμενα, ἑτέροις φέρων ἀναθήσει. πράττε μὴ τὰ λυπήσοντά σε. ἐπὶ δὲ τοῖς συμβαίνουσι μὴ λυποῦ. μήτε πονηρὰ βουλεύσῃ ποτὲ, μήτε τρόπους κακῶν μιμήσῃ. τούτοις τοῦ Αἰσώπου τὸν Αἶνον νουθετήσαντος, ἐκεῖνος τοῖς τε λόγοις καὶ τῇ οἰκείᾳ συνειδήσει οἷά τινι βέλει πληγεὶς τὴν ψυχὴν, μετ' οὐ πολλὰς ἡμέρας τὸν βίον μετήλλαξεν. Αἴσωπος δὲ τοὺς ἰξευτὰς πάντας προσκαλεσάμενος, ἀετῶν νεοττοὺς τέτταρας συλληφθῆναι κελεύει. συλληφθέντας οὖν οὕτως, ἔθρεψεν ὥς λέγεται, καὶ ἐπαίδευσεν, ὅπερ οὐ πάνυ τί με πειθόμενον ἔχει, ὡς παῖδας δῆθεν θυλάκων αὐτοῖς προσηρτημένων βαστάζοντας εἰς ὕψος αἴρεσθαι. καὶ οὕτως ὑπηκόους τοῖς παισὶν εἶναι, ὡς ὅπουπερ ἂν ἐκεῖνοι βούλοιντο ἵπτασθαι ἄν τε εἰς ὕψος, ἄν τε εἰς γῆν χαμᾶζε. τῆς δὲ χειμερινῆς ὥρας παραδραμούσης, καὶ ἦρος διαγελάσαντος, ἅπαντα τὰ πρὸς τὴν ὁδὸν συσκευασάμενος Αἴσωπος, καὶ τούς τε παῖδας λαβὼν καὶ τοὺς ἀετοὺς, ἀπῆρεν εἰς Αἴγυπτον, πολλῇ φαντασίᾳ καὶ δόξῃ πρὸς κατάπληξιν τῶν ἐκεῖ κεχρημένος.

[Marginalia: meior es dexar su hazienda en muerte a sus enemigos que pedir biviendo a sus amigos. Simile plana 194 digo 199. — ἔννος. moritur. — αἴρω. — ἀπῆρεν]

Universidad de Deusto Biblioteca



νεκτεναβὼ δ' ἀκούσας περιγεγονέναι τὸν αἴσωπον, ἐψ-
ευσμαί, φησι, τοῖς φίλοις, μεμαθηκὼς αἴσωπον τεθνη-
κέναι. τῇ δ' ἐπιούσῃ κελεύσας ὁ βασιλεὺς πάντας
τοὺς ἐν τέλει λευκὰς περιβαλέσθαι στολάς, αὐτὸς ἐ-
ρέαν ἐνεδύσατο, καὶ διάδημα, καὶ διάλιθον κίταριν. : ἐρέα-
καὶ καθεσθεὶς ἐφ' ὑψηλοῦ δίφρου, καὶ τὸν αἴσωπον εἰσα-
χθῆναι κελεύσας, τίνι με εἰκάζεις εἰσελθόντι φησὶν, αἴ-
σωπε, καὶ τοὺς σὺν ἐμοί; καὶ ὅς· σὲ μὲν, ἡλίῳ ἐαρινῷ· τοὺς
δὲ περὶ σὲ τούτους, ὡραίοις στάχυσι. καὶ ὁ βασιλεὺς θαυ-
μάσας αὐτὸν, τοῖς δώροις ἐδεξιώσατο. τῇ δὲ μετ' ἐκείνην
ἡμέρᾳ πάλιν ὁ μὲν βασιλεὺς λευκοτάτην ἐνεσκευασμέ-
νος, τοῖς δὲ φίλοις φοινικᾶς κελεύσας λαβεῖν, εἰσελ-
θόντα τὸν αἴσωπον, τὴν προτέραν αὖθις πεῦσιν ἐπύθε-
το· καὶ ὁ αἴσωπος, σὲ μὲν, εἶπεν, εἰκάζω ἡλίῳ· τοὺς δὲ περὶ σὲ,
τούτους ἀκτῖσι. καὶ ὁ νεκτεναβὼ, οἶμαι μηδὲν εἶναι λυκή-
ρου πρὸς τὴν ἐμὴν βασιλείαν. καὶ ὁ αἴσωπος μειδιά-
σας, μὴ εὐχερῶς οὕτω περὶ ἐκείνου λέγε ὦ βασιλεῦ.
πρὸς μὲν γὰρ τὸ ὑμέτερον ἔθνος ἡ ὑμῶν ἐπιδεικνυμένη
βασιλεία, δίκην ἡλίου σελαγεῖ· εἰ δὲ λυκήρῳ παραβλη-
θείη, οὐδὲν ἂν δέοι μὴ τὸ φῶς τοῦτο ζόφον ἀποδειχθῆναι.
καὶ ὁ νεκτεναβὼ τὴν τῶν λόγων εὐστοχίαν ἐκπλαγεὶς,
ἤνεγκας ἡμῖν ἔφη τοὺς μέλλοντας τὸν πύργον οἰκοδομεῖν.
καὶ ὅς, ἕτοιμοί εἰσιν, εἰ μόνον ὑποδείξεις τὸν τόπον. μετὰ
τοῦτο ἐξελθὼν ἔξω τῆς πόλεως ὁ βασιλεὺς ἐπὶ τὸ πε-
δίον, ὑπέδειξε διαμετρήσας τὸν χῶρον. ἀγαγὼν τοίνυν
αἴσωπος ἐπὶ τὰς ὑποδειχθείσας τοῦ τόπου γωνίας
τέσσαρας τοὺς τέσσαρας τῶν ἀετῶν, ἅμα τοῖς παισὶ διὰ
τῶν θυλάκων ἀπηρτημένους, καὶ οἰκοδόμων τοῖς παι-
σὶ μετὰ χεῖρας δοὺς ὄργανα, ἐκέλευσεν ἀναπτῆναι.

οἱ δὲ



οἱ δὲ πρὸς ὕψος γενόμενοι, δότε ἡμῖν ἐφώνουν λίθους,
δότε κονίαν, δότε ξύλα, καὶ τἆλλα τῶν πρὸς οἰκοδομὴν
ἐπιτηδείων. ὁ δὲ νεκτεναβὼ τοὺς παῖδας θεασάμενος
ὑπὸ τῶν ἀετῶν εἰς ὕψος ἀναφερομένους, ἔφη· πόθεν
ἐμοὶ πτηνοὶ ἄνθρωποι; καὶ ὁ αἴσωπος, ἀλλὰ λυκῆρος
ἔχει. σὺ δὲ θέλεις ἄνθρωπος ὢν ἰσοθέῳ ἐρίζειν βασιλεῖ;
καὶ ὁ νεκτεναβὼ, αἴσωπε, ἥττημαι. ἐρήσομαι δέ σε, σὺ
δέ μοι ἀπόκριναι. καὶ φησίν· εἰσί μοι θήλειαι ὧδε ἵπ-
ποι, αἵπερ ἐπειδὰν ἀκούσωσι τῶν ἐν βαβυλῶνι ἵππων
χρεμετιζόντων, εὐθὺς συλλαμβάνουσιν. εἴ σοι πρὸς τοῦτο
πάρεστι σοφία, ἐπίδειξαι. καὶ ὁ αἴσωπος· ἀποκρινοῦ-
μαί σοι αὔριον βασιλεῦ. ἐλθὼν δ' οὗ κατήγετο, αἴλου-
ρον τοῖς παισὶν ἐκέλευσε συλλαβεῖν, καὶ συλληφθέν-
τα δημοσίᾳ περιάγειν μαστιζόμενον. οἱ δὲ αἰγύπτιοι : el gato tenian
τὸ ζῶον σεβόμενοι, οὕτω κακῶς πάσχον αὐτὸ θεασάμενοι, por dios en egypto.
συνέδραμον. καὶ τὸν αἴλουρον τῆς χειρὸς τῶν μαστιγούν- vide fabulam de
των ἐξαρπάσαντες, ἀναγγέλλουσιν ὡς τάχος τῷ βα- αἴλουρω - plana.
σιλεῖ τὸ πάθος. ὁ δὲ καλέσας τὸν αἴσωπον, οὐκ ᾔδεις, φη- -51-
σὶν, αἴσωπε, ὡς θεὸς σεβόμενος παρ' ἡμῖν ἐστιν αἴλουρος;
ἵνα τί γοῦν τοῦτο πεποίηκας; καὶ ὅς, λυκῆρον τὸν βασι-
λέα ἠδίκησεν, ὦ βασιλεῦ, τῆς παρελθούσης νυκτὸς οὗτος
ὁ αἴλουρος. ἀλεκτρυόνα γὰρ αὐτοῦ πεφόνευκε μάχιμον
καὶ γενναῖον, πρὸς ἔτι γε μὴν καὶ τὰς ὥρας αὐτῷ τῆς
νυκτὸς σημαίνοντα. καὶ ὁ βασιλεὺς, οὐκ αἰσχύνῃ ψευδόμε-
νος αἴσωπε; πῶς γὰρ ἐν μιᾷ νυκτὶ αἴλουρος ἀπ' αἰγύ-
πτου ἦλθεν εἰς βαβυλῶνα. κἀκεῖνος μειδιάσας φησίν·
καὶ πῶς, ὦ βασιλεῦ, ἐν βαβυλῶνι τῶν ἵππων χρεμετι-
ζόντων, αἱ ἐνθάδε θήλειαι ἵπποι συλλαμβάνουσιν; ὁ δὲ
βασιλεὺς ταῦτα ἀκούσας, τὴν φρόνησιν αὐτοῦ ἐμακά-

 ρισε

εἴασε. μετὰ δὲ ταῦτα μεταπεμψάμενος ἀφ' ἡλίου πόλεως ἄνδρας ζητημάτων σοφιστικῶν ἐπιστήμονας, καὶ περὶ τοῦ αἰσώπου διαλεχθεὶς αὐτοῖς, ἐκάλεσεν ἅμα τῷ αἰσώπῳ ἐπ' εὐωχίαν. ἀνακλιθέντων οὖν αὐτῶν, τῶν ἡλίου πολιτῶν τίς φησι πρὸς τὸν αἴσωπον· ἀπεστάλην παρὰ τοῦ θεοῦ μου πεῦσίν τινα πυθέσθαι σου, ὡς ἂν αὐτὴν ἐπιλύσῃς. καὶ ὁ αἴσωπος, ψεύδῃ. θεὸς γὰρ παρὰ ἀνθρώπου οὐδὲν δεῖται μαθεῖν. σὺ δ' οὐ μόνον σαυτοῦ κατηγορεῖς, ἀλλὰ καὶ τοῦ θεοῦ σου. ἕτερος πάλιν εἶπεν· ἔστι ναὸς μέγας, καὶ ἐν αὐτῷ στῦλος, δώδεκα πόλεις ἔχων, ὧν ἑκάστη τριάκοντα δοκοῖς ἐστέγασται. ταύτας δὲ περιΐασι δύο γυναῖκες. καὶ ὁ αἴσωπος ἔφη· τοῦτο τὸ πρόβλημα καὶ οἱ παρ' ἡμῖν ἐπιλύονται παῖδες. ναὸς μὲν γάρ ἐστιν, οὗτος ὁ κόσμος· στῦλος δὲ ὁ ἐνιαυτός· αἱ δὲ πόλεις, οἱ μῆνες· καὶ δοκοί, αἱ τούτων ἡμέραι. ἡμέρα δὲ καὶ νύξ, αἱ δύο γυναῖκες, αἳ παραλλὰξ ἀλλήλας διαδέχονται. τῇ δὲ ἐφεξῆς ἡμέρᾳ συγκαλέσας τοὺς φίλους ἅπαντας ὁ νεκτεναβώ, φησί· διὰ τὸν αἴσωπον τοῦτον ὀφλήσομεν φόρους τῷ βασιλεῖ λυκήρῳ. εἷς δέ τις αὐτῶν εἶπε· κελεύσωμεν αὐτὸν προβλήματα φράσαι ἡμῖν, περὶ ὧν οὔτ' οἴδαμεν, οὔτ' ἠκούσαμεν. καὶ ὃς, αὔριον ἐπὶ τούτου ὑμῖν ἀποκρινοῦμαι. ἀπελθὼν οὖν, καὶ συνταξάμενος γραμματεῖον, ἐν ᾧ περιείχετο νεκτεναβὼ ὁμολογῶν χίλια τάλαντα τῷ λυκήρῳ ὀφείλειν, πρωΐας ἐπανελθὼν, τῷ βασιλεῖ τὸ γραμματεῖον ἐπέδωκεν. οἱ δὲ τοῦ βασιλέως φίλοι πρὶν ἀνοιχθῆναι τὸ γραμματεῖον, πάντες ἔλεγον· καὶ οἴδαμεν τοῦτο, καὶ ἠκούσαμεν, καὶ ἀληθῶς ἐπιστάμεθα. καὶ ὁ αἴσωπος, χάριν ὑμῖν οἶδα τῆς ἀποδόσεως ἕνεκεν. ὁ δὲ νεκτεναβὼ τὴν ὁμο-

λογίαν



λογίαν τῆς ὀφειλῆς ἀναγνοὺς εἶπεν· ἐμοῦ λυκήρῳ μηδὲν ὀφείλοντος, πάντες ὑμεῖς μαρτυρεῖτε; κἀκεῖνοι μεταβαλόντες, εἶπον· οὔτ' εἴδομεν, οὔτ' ἠκούσαμεν. καὶ ὁ αἴσωπος, καὶ εἰ ταῦθ' οὕτως ἔχει, λέλυται τὸ ζητούμενον. καὶ ὁ νεκτεναβὼ πρὸς ταῦτα· μακάριός ἐστι λυκῆρος τοιαύτην σοφίαν ἐν τῇ βασιλείᾳ ἑαυτοῦ κεκτημένος. τοὺς οὖν συμφωνηθέντας φόρους παραδοὺς τῷ αἰσώπῳ, ἐν εἰρήνῃ ἀπέστειλεν. αἴσωπος δ' εἰς βαβυλῶνα παραγενόμενος, διεξῆλθέ τε λυκήρῳ τὰ ἐν αἰγύπτῳ πραχθέντα πάντα, καὶ τοὺς φόρους ἀπέδωκε. λυκῆρος δ' ἐκέλευσεν ἀνδριάντα χρυσοῦν τῷ αἰσώπῳ ἀνατεθῆναι. μετ' οὐ πολὺν χρόνον αἴσωπος εἰς ἑλλάδα ἐβουλεύσατο πλεῦσαι. καὶ δὴ τῷ βασιλεῖ συνταξάμενος ἀπεδήμησεν, ὅρκον δοὺς αὐτῷ πρότερον, ἦ μὴν ἐπανήξειν εἰς βαβυλῶνα, κἀκεῖ τὸ λοιπὸν διαβιώσειν. περιϊὼν δὲ τὰς ἑλληνίδας πόλεις, καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδεικνύμενος, ἦλθε καὶ εἰς δελφούς. οἱ δὲ δελφοὶ διαλεγομένου μὲν ἠκροῶντο ἡδέως, τιμῆς δὲ καὶ θεραπείας εἰς αὐτὸν ἔδρασαν οὐδεμίαν. ὁ δὲ πρὸς αὐτοὺς ὑπολαβὼν ἔφη· ἄνδρες δελφοί, ἐπῆλθέ μοι ξύλῳ ὑμᾶς εἰκάζειν τῷ ἐν θαλάττῃ φερομένῳ. κἀκεῖνο γὰρ ὁρῶντες ἐκ πολλοῦ διαστήματος ὑπὸ κυμάτων φερόμενον, πολλοῦ τινος ἄξιον εἶναι οἰόμεθα. ἐπειδὰν ἐγγυτάτω προσέλθῃ, εὐτελέστατον φαίνεται. κἀγὼ γοῦν πόρρωθεν τῆς ὑμῶν πόλεως ὢν ὥς τινας τῶν ἀξίων λόγου ὑμᾶς ἐθαύμαζον. νυνὶ δ' ἐλθὼν ὡς ὑμᾶς, πάντων ὡς εἰπεῖν ἀνθρώπων εὗρον ἀχρειοτέρους, οὕτω πεπλάνημαι. ταῦτα ἀκούσαντες οἱ δελφοί, καὶ δείσαντες μή πως αἴσωπος καὶ πρὸς τὰς ἄλλας πόλεις βαδίζων κακῶς αὐτοὺς λέγῃ, ἐβουλήθησαν δόλῳ τὸν ἄνθρωπον ἀνελεῖν. καὶ δή τινα χρυσῆν φιάλην ἐκ τοῦ παρ' αὐτοῖς ἱεροῦ τοῦ ἀπόλλωνος ἀνελόμενοι, λάθρα

τοῖς

εἰκάζειν ... 97.

τῆς.

Universidad de Deusto Biblioteca



τοῖς αἰσώπου κατέκρυψαν στρώμασι. ὁ δ' αἴσωπος τὰ ὑπ' αὐτῶν ἀγνοοῦντος σκευωρηθέντα, ἐξελθὼν ἐπορεύετο πρὸς φωκίδα. οἱ δελφοὶ δ' ἐπιδραμόντες, καὶ καταλαβόντες αὐτὸν ἀνέκρινον, ὡς ἱεροσυληκότα. τοῦ δ' ἀρνουμένου μηδὲν πεπραχέναι τοιοῦτο, ἐκεῖνοι πρὸς βίαν τὰ στρώματα ἀναπτύξαντες, τὴν χρυσῆν εὗρον φιάλην. ἣν καὶ ἀναλαβόντες τοῖς ἐν τῇ πόλει πᾶσιν ἐπεδείκνυσαν οὐ σὺν ὀλίγῳ θορύβῳ. ὁ μὲν οὖν αἴσωπος τὴν ἐκείνων συννοήσας ἐπιβουλήν, ἐδεῖτο αὐτῶν ἀπολυθῆναι. οἱ δ' οὐ μόνον οὐκ ἀπέλυσαν, ἀλλ' ὡς ἱεροσυλήσαντα, καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλον, θάνατον αὐτοῦ καταψηφισάμενοι. αἴσωπος δὲ μηδεμιᾷ μηχανῇ τῆς πονηρᾶς ταύτης τύχης σωθῆναι δυνάμενος, ἑαυτὸν ἐπὶ τῆς εἱρκτῆς ἐθρήνει καθήμενος. τῶν συνήθων δέ τις αὐτοῦ δαμᾶς τοὔνομα πρὸς αὐτὸν εἰσελθών, καὶ ἰδὼν οὕτως ὀλοφυρόμενον, τὴν αἰτίαν τοῦ πάθους ἤρετο. καὶ ὃς ἔφη· γυνή τις προσφάτως τὸν ἑαυτῆς ἄνδρα θάψασα, καθ' ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνημεῖον, ἐθρήνει. ἀροτριῶν δέ τις οὐ πόρρω τοῦ μνήματος, εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικός. καὶ καταλιπὼν τοὺς βόας, ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα. καὶ καθίσας, συνεθρήνει τῇ γυναικί. τῆς δὲ πυθομένης, τί δήποτε καὶ αὐτὸς οὕτως ὀδύρεται; ὅτι κἀγώ, φησιν, εὐπρεπῆ γυναῖκα κατώρυξα. καὶ ἐπειδὰν κλαύσω, τῆς λύπης κουφίζομαι. ἡ δὲ κἀμοὶ τοῦτ' αὐτὸ προσγίνεται. κἀκεῖνος, εἰ τοίνυν τὴν αὐτὴν περιπεπτώκαμεν πάθεσιν, τί δήποτε ἀλλήλοις μὴ συνεῖμεν. ἐγώ τε γὰρ φιλήσω σε ὡς ἐκείνην, κἀμὲ σὺ πάλιν ὡς τὸν σαυτῆς ἄνδρα. ταῦτα ἔπεισε τὴν γυναῖκα. καὶ δὴ συνῆλθον. ἐν τούτῳ δὲ κλέπτης ἐλθών, καὶ τοὺς βόας λύσας,

δαμᾶς.



λύσας, ἀπήλασεν. ὁ δ' ἐπανελθών, ἐπεὶ τοὺς βόας μὴ εὑρηκώς, κόπτεσθαί τε καὶ οἰμώζειν ἰσχυρῶς ἐνεστήσατο. ἐλθοῦσα δὲ καὶ ἡ γυνή, καὶ ὀλοφυρόμενον εὑροῦσα, φησί, πάλιν κλαίεις; κἀκεῖνος, νῦν εἶπεν ἐπ' ἀληθείας κλαίω. κἀγὼ γοῦν πολλοὺς διαδρὰς κινδύνους, νῦν τῷ ὄντι θρηνῶ, λύσιν τοῦ κακοῦ μηδαμόθεν εὑρίσκων. μετὰ ταῦτα παρῆσαν καὶ οἱ δελφοί, καὶ ἐκβαλόντες αὐτὸν τῆς εἱρκτῆς, εἷλκον βιαίως ἐπὶ τοῦ κρημνοῦ. ὁ δὲ πρὸς αὐτοὺς ἔλεγεν· ὅτε ἦν ὁμόφωνα τὰ ζῷα, μῦς βατράχῳ φιλιωθείς, εἰς δεῖπνον αὐτὸν ἐκάλεσε. καὶ ἀπαγαγὼν εἰς ταμεῖον πλουσίου, ἔνθα πλεῖστα τῶν ἐδωδίμων ἦν, εὐωχοῦ φησι φίλε βάτραχε. μετὰ δὲ τὴν ἑστίασιν, καὶ ὁ βάτραχος τὸν μῦν εἰς τὴν οἰκείαν ἐκάλεσε δίαιταν. ἀλλ' ἵνα μὴ ἀποκάμῃς, φησί, νηχόμενος, μηρίνθῳ λεπτῇ τὸν σὸν πόδα τῷ ἐμαυτοῦ προσαρτήσω. καὶ τοῦτο πράξας, ἥλατο εἰς τὴν λίμνην. αὐτοῦ δὲ καταδύοντος εἰς βάθος, ὁ μῦς ἀπεπνίγετο, καὶ θνήσκων εἶπεν· ἐγὼ μὲν ὑπὸ σοῦ θνήσκω. ἐκδικηθήσομαι δὲ ὑπὸ μείζονος. ἐπιπλέοντος οὖν τοῦ μυὸς ἐν τῇ λίμνῃ νεκροῦ, καταπτὰς ἀετὸς τοῦτον ἀφήρπασε, σὺν αὐτῷ δὲ προσηρτημένον ὁμοῦ καὶ τὸν βάτραχον. καὶ οὕτως ἄμφω κατεθοινήσατο. κἀγὼ τοίνυν βίᾳ πρὸς ὑμῶν ἀποθνήσκων, ἕξω τὸν ἀμυνοῦντα. βαβυλὼν γὰρ καὶ ἑλλὰς πᾶσα τὸν ἐμὸν παρ' ὑμῶν ἀπαιτήσουσι θάνατον. οἱ μὲν οὖν δελφοὶ οὐδ' ὡς ἐφείδοντο τοῦ αἰσώπου. ὁ δ' ἐπὶ τὸ τοῦ ἀπόλλωνος κατέφυγεν ἱερόν. οἱ δὲ κἀκεῖθεν ἀποσπάσαντες μετ' ὀργῆς, ἐπὶ τὸν κρημνὸν αὖθις εἷλκον. ὁ δ' ἀπαγόμενος ἔλεγεν· ἀκούσατέ μου δελφοί. λαγὸς ὑπ' ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. ὁ δὲ κάνθαρος

: funis - laqueus · vinculum.

: κοίτην - la camara do // estaba el cántharo - simile // verbum - cap. 9 - // pauli ad roma-

λαγωός // erinacius. lepus terrestis // et marinus-

Universidad de Deusto Biblioteca

: aquí está la fabula 2 la qual está a la ... pla. 49.

κάνθαρος ἠξίου τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐτὸν κατὰ τοῦ μεγίστου διός, ἦ μὴν μὴ καταφρονῆσαι τῆς μικρότητος αὐτοῦ. ὁ δὲ μετ' ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. ὁ δὲ κάνθαρος τῷ τε ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμαθεῖν. καὶ δὴ προσελθών, τὰ ᾠὰ τούτου κατακυλίσας διέφθειρε. τοῦ δὲ δεινὸν ποιησαμένου, εἴ τις τοῦτο τολμήσειε, καὶ ἐπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τοῦτον διέθηκεν. ὁ δ' ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν δία, τούτου γὰρ ἱερὸς εἶναι λέγεται, τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ᾠῶν ἔθηκε, τῷ διῒ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. ὁ κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβὰς ἐπὶ τοὺς κόλπους τοῦ διὸς ταύτην καθῆκεν. ὁ δὲ ζεὺς ἀναστὰς ἐφ' ᾧ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ᾠὰ διέρριψεν ἐκλαθόμενος, ἃ καὶ συνετρίβη πεσόντα. μαθὼν δὲ πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος. οὐ γὰρ δὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν δία αὐτὸν ἠσέβησε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα, κάνθαρον εἶναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. μὴ βουλόμενος οὖν τὸ γένος τὸ τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι. τοῦ δὲ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τόκον, ἡνίκα ἂν μὴ φαίνωνται κάνθαροι. καὶ ὑμεῖς οὖν ὦ ἄνδρες δελφοί, μὴ ἀτιμάσητε τοῦτον δὴ τὸν θεὸν εἰς ὃν κατέφυγον, εἰ καὶ μικροῦ τετύχηκεν ἱεροῦ. οὐδὲ γὰρ ἀσεβεῖς περιόψεται. οἱ δὲ δελφοὶ τούτων ὀλίγα φροντίζοντες, τὴν ἐπὶ τὸν θάνατον ὁμοίως ἦγον. αἴσωπος δὲ μηδενὶ τῶν ὑπ' αὐτοῦ λεγομένων ὁρῶν καμπτομένους, πάλιν φησίν· ἄνδρες ἀνήμεροι καὶ φονῶντες ἀκούσατε· γεωργός τις ἐπ' ἀγροῦ γεγηρακώς, ἐπεὶ μηδέποτε εἰσῆλθεν εἰς ἄστυ, παρεκάλει

ὅτι

πειθομένου legito μὴ πειθομένου ut pla. 49.



τοὺς οἰκείους τοῦτο θεάσασθαι. οἱ δὲ ζεύξαντες ὀνάρια, καὶ ἐπὶ τῆς ἀπήνης αὐτὸν ἀναβιβασάμενοι, μόνον ἐκέλευσαν ἐλαύνειν. ὁδεύοντι δὲ χειμῶνος καὶ θυέλλης τὸν ἀέρα καταλαβόντων, καὶ ζόφου γενομένου, τὰ ὀνάρια τῆς ὁδοῦ πλανηθέντα, εἴς τινα κρημνὸν ἐξετόπισαν τὸν πρεσβύτην. ὁ δὲ μέλλων ἤδη κατακρημνίζεσθαι, ὦ ζεῦ, εἶπε· τί ποτέ σε ἠδίκησα, ὅτι οὕτω παραλόγως ἀπόλλυμαι; καὶ ταῦτα οὐδ' ὑφ' ἵππων γενναίων, οὐδ' ἡμιόνων ἀγαθῶν, ἀλλ' ὀναρίων εὐτελεστάτων. κἀγὼ γοῦν ἐπὶ τοῖς ἴσοις νῦν δυσχεραίνω, ὅτι μὴ ὑπ' ἐντίμων ἀνδρῶν, ἢ ἐλλογίμων, ἀλλ' ὑπ' ἀχρείων καὶ κακίστων ἀπόλλυμαι. μέλλων δὲ ἤδη κατὰ τοῦ κρημνοῦ ἀφίεσθαι, τοιοῦτον εἴρηκε πάλιν μῦθον· ἀνήρ τις τῆς οἰκείας ἐρασθεὶς θυγατρός, εἰς ἀγρὸν ἀπεστείλατο τὴν γυναῖκα. μόνην δὲ τὴν θυγατέρα ἀπολαβών, ἐβίαζε. ἡ δέ, πάτερ, εἶπεν, ἀνόσια πράττεις, εὐχόμην μέντοι ὑπὸ πολλῶν ἀνδρῶν αἰσχυνθῆναι, ἢ ὑπὸ σοῦ τοῦ γεννησαμένου. τοῦτο τοίνυν καὶ ἐφ' ὑμῶν ὦ παράνομοι δελφοὶ λέγω, ὡς ᾑρούμην σκύλλῃ καὶ χάρυβδι περιπεσεῖν, καὶ ταῖς ἐν ἀφρικῇ σύρτεσιν, ἢ παρ' ὑμῶν ἀδίκως καὶ ἀναξίως ἀποθανεῖν. καταρῶμαι γοῦν ὑμῶν τῇ πατρίδι, καὶ θεοῖς μαρτύρομαι ὡς ἔξω πάσης δίκης ἀπόλλυμαι, οἵ μοι τιμωρήσουσιν εἰσακούσαντες. ἔρριψαν μὲν οὖν αὐτὸν οἱ δελφοὶ κατὰ τοῦ κρημνοῦ, καὶ ἀπέθανεν. οὐ πολλῷ δ' ὕστερον λοιμῷ συσχεθέντες, χρησμὸν ἔλαβον ἐξιλάσκεσθαι τὸν αἰσώπου θάνατον. ᾧ καὶ ὡς συνειδότες ἑαυτοῖς ἀδίκως φονευθέντι, καὶ στήλην ἀνέστησαν. οἱ δ' ἐν τῇ ἑλλάδι πρωτεύοντες, καὶ ὅσοι τῶν σοφωτέρων, καὶ αὐτοὶ τὰ εἰς αἴσωπον πεπραγμένα μαθόντες, εἴς τε δελφοὺς παρεγένοντο. καὶ σὺν ἐκείνοις σκεψάμενοι, τιμωροὶ καὶ αὐτοὶ τοῦ αἰσώπου θανάτῳ γεγόνασι.

: Ἀναβιβάζω.
ὅτι.
ὅτι.
: μέντοι - Iurantis vox.
moritur Esopus.

ΤΕΛΟΣ ΤΟΥ ΑΙΣΩΠΟΥ ΒΙΟΥ.

# ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ.

## ΑΕΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ἀετὸς καὶ ἀλώπηξ φιλιωθέντες, πλησίον ἀλλήλων οἰκεῖν ἔγνωσαν, βεβαίωσιν φιλίας ποιούμενοι τὴν συνήθειαν. ὁ μὲν οὖν ἐφ' ὑψηλοῦ δένδρου τὴν καλιὰν ἐπήξατο. ἡ δ' ἀλώπηξ, ἐν τοῖς ἔγγιστα θάμνοις ἐτεκνοποιήσατο. ἐπὶ νομὴν οὖν ποτε τῆς ἀλώπεκος προελθούσης, ὁ ἀετὸς τροφῆς ἀπορῶν, καταπτὰς ἐπὶ τὸν θάμνον, καὶ τὰ τέκνα ταύτης ἀναρπάσας, ἅμα τοῖς αὐτοῦ νεοττοῖς ἐθοινήσατο. ἡ δ' ἀλώπηξ ἐπανελθοῦσα, καὶ τὸ πραχθὲν μαθοῦσα, οὐ τοσοῦτον ἐπὶ τῷ τῶν τέκνων ἠνιάθη θανάτῳ, ὅσον ἐπὶ τῷ τῆς ἀμύνης ἀπόρῳ. χερσαία γὰρ οὖσα, πτηνὸν διώκειν οὐχ οἵα τε ἦν. διὸ καὶ πόρρωθεν στᾶσα, τοῦθ' ὃ καὶ τοῖς ἀδυνάτοις ἐστὶν εὔπορον, τῷ ἐχθρῷ κατηρᾶτο. οὐ πολλῷ δ' ὕστερον, αἶγά τινων ἐπ' ἀγροῦ θυόντων, καταπτὰς ὁ ἀετὸς, μέρος τι τῶν θυμάτων σὺν ἐμπύροις ἄνθραξιν ἥρπασε, κἀπὶ τὴν νεοττιὰν ἤγαγεν. ἀνέμου δὲ σφοδροῦ ἐμπνεύσαντος τηνικαῦτα, καὶ φλογὸς ἀναφθείσης, οἱ ἀετιδεῖς ἄπτηνοι ἔτι τυγχάνοντες, ὀπτηθέντες εἰς γῆν κατέπεσον. ἡ δ' ἀλώπηξ ἐπιδραμοῦσα, ἐν ὄψει τοῦ ἀετοῦ πάντας κατέφαγεν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων φύγωσι τιμωρίαν δι' ἀσθένειαν, ἀλλὰ τήν γε θείαν δίκην οὐ διακρούσονται.





## Ἀετὸς καὶ κάνθαρος.

Λαγωὸς ὑπ' ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐτὸν κατὰ τοῦ μεγίστου Διὸς, μηδὲ καταφρονῆσαι τῆς μικρότητος αὐτοῦ. ὁ δὲ μετ' ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. ὁ δὲ κάνθαρος τῷ τε ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμαθεῖν. καὶ δὴ προσελθὼν, τὰ ᾠὰ τούτου κατακυλίσας διέφθειρε. τοῦ δὲ δεινὸν ποιησαμένου, εἴ τις τοῦτο τολμήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τοῦτον διέθηκεν. ὁ δ' ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν Δία (τούτου γὰρ ἱερὸς εἶναι λέγεται) τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ᾠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. ὁ κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβὰς, ἐπὶ τοῦ κόλπου τοῦ Διὸς ταύτην καθῆκεν. ὁ δὲ Ζεὺς ἀναστὰς, ἐφ' ᾧ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ᾠὰ διέρριψεν ἐκλαθόμενος. ἃ καὶ συνετρίβη πεσόντα. μαθὼν δὲ πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος (οὐ γὰρ μὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδικήκει, ἀλλὰ καὶ εἰς τὸν Δία αὐτὸν ἠσέβησε) πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα, κάνθαρον εἶναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. μὴ βουλόμενος οὖν τὸ γένος τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι. τοῦ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τοκετὸν, ἡνίκα ἂν μὴ φαίνωνται κάνθαροι.

Universidad de Deusto Biblioteca



Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μηδενὸς καταφρονεῖν, λογιζομένους ὡς οὐδείς ἐστιν, ὃς περιπληκτισθεὶς, οὐκ ἂν δυνηθείη ἔχων τῷ ἐπαμῦναι.

Ἀηδὼν καὶ ἱέραξ.

Ἀηδὼν ἐπὶ δένδρου καθεζομένη, κατὰ τὸ εἰωθὸς ᾖδεν. ἱέραξ δὲ θεασάμενος, καὶ τροφῆς ἀπορῶν, συνείληφεν ἐπιπτάς. ἡ δ᾽ ἀναιρεῖσθαι μέλλουσα, ἐδεῖτο τοῦ ἱέρακος μὴ βρωθῆναι. μηδὲ γὰρ ἱκανὴν εἶναι ἱέρακος γαστέρα πληροῦν. δεῖν δὲ αὐτὸν τροφῆς προσδεόμενον, ἐπὶ τὰ μείζω τῶν ὀρνέων τρέπεσθαι. καὶ ὁ ἱέραξ ὑπολαβὼν, εἶπεν· ἀλλ᾽ ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν ἀφεὶς, τὰ μὴ φαινόμενά που διώκοιμι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οὕτως ἀλόγιστοί εἰσιν, οἳ δι᾽ ἐλπίδα πλειόνων ἀδήλων, τὰ ἐν χερσὶ προϊέμενοι.

Ἀλώπηξ καὶ τράγος.

Ἀλώπηξ καὶ τράγος διψῶντες, εἰς φρέαρ κατέβησαν. μετὰ δὲ τὸ πιεῖν, τοῦ τράγου σκεπτομένου τὴν ἄνοδον, ἡ ἀλώπηξ ἔφη, θάρσει· χρήσιμόν τι καὶ εἰς τὴν ἀμφοτέρων σωτηρίαν ἐπινενόηκα. εἰ γὰρ ὄρθιος σταθεὶς, τοὺς ἐμπροσθίους τῶν ποδῶν τῷ τοίχῳ προσερείσεις, καὶ τὰ κέρατα ὁμοίως εἰς τοὔμπροσθεν κλινεῖς, ἀναδραμοῦσα διὰ τῶν σῶν αὐτὴ νώτων καὶ κεράτων, καὶ ἔξω τοῦ φρέατος ἐκεῖθεν πηδήσασα, καὶ σὲ μετὰ τοῦτο ἀνασπάσω ἐντεῦθεν. τοῦ δὲ τράγου πρὸς τοῦτο ἑτοίμως ὑπηρετησαμένου, ἐκείνη τοῦ φρέατος οὕ-





τως ἐκπηδήσασα, ἐσκίρτα περὶ τὸ στόμιον ἡδομένη. ὁ δὲ τράγος αὐτὴν ἐμέμφετο, ὡς παραβαίνουσαν τὰς συνθήκας. ἡ δ᾽ ἀλλ᾽ εἰ τοσαύτας, εἶπε, φρένας ἐκέκτησο, ὁπόσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον ἂν κατέβης πρὶν ἢ τὴν ἄνοδον σκέψασθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνδρα δεῖ πρότερον τὰ τέλη σκοποῦντα τῶν πραγμάτων, εἶθ᾽ οὕτως αὐτοῖς ἐγχειρεῖν.

Ἀλώπηξ καὶ λέων.

Ἀλώπηξ μήπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάρρησεν, ὡς καὶ προσελθοῦσα, διαλεχθῆναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια, καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

Αἴλουρος καὶ ἀλεκτρυών.

Αἴλουρος συλλαβὼν ἀλεκτρυόνα, μετ᾽ εὐλόγου τινὸς αἰτίας ἠβουλήθη καταφαγεῖν. καὶ δὴ κατηγόρει αὐτοῦ, λέγων ὡς ὀχληρὸς εἴη τοῖς ἀνθρώποις νύκτωρ κεκραγὼς, καὶ μὴ συγχωρῶν ὕπνου τυγχάνειν. τοῦ δ᾽ ἀπολογουμένου ἐπὶ τῇ ἐκείνων ὠφελείᾳ τοῦτο ποιεῖν, ὡς ἐπὶ τὰ συνήθη τῶν ἔργων ἐγείρεσθαι· πάλιν ὁ αἴλουρος αἰτίαν ἐπέφερεν, ὡς ἀσεβὴς εἴη περὶ τὴν φύσιν, μητρὶ καὶ ἀδελφαῖς συμμιγνύμενος. τοῦ δὲ, καὶ τοῦτο πρὸς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος,

Universidad de Deusto Biblioteca



πολλῶν αὐτοῖς ἐντεῦθεν ὠῶν τικτομένων, ὁ αἴλουρος εἰπὼν, ἀλλ' εἰ σύ γε πολλῶν εὐπορεῖς εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μενῶ, τοῦτον κατεθοινήσατο.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν αἱρουμένη, εἰ μὴ μετ' εὐλόγου δυνηθείη προσχήματος, ἀπαρακαλύπτως γε μὴν πονηρεύεται.

Ἀλώπεκος.

Ἀλώπηξ ἐν παγίδι ληφθεῖσα, καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ' αἰσχύνης ἡγεῖτο τὸν βίον. ἔγνω οὖν καὶ τὰς ἄλλας ἀλώπεκας τοῦτ' αὐτὸ νουθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος. καὶ δὴ πάσας ἀθροίσασα, παρῄνει τὰς οὐρὰς ἀποκόπτειν, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὂν, ἀλλὰ καὶ περιττὸν βάρος προσηρτημένον. ὑπολαβοῦσα δέ τις αὐτῶν, εἶπεν· ὦ αὕτη, ἀλλ' εἰ οὐ σοὶ τοῦτο προσέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων, οὐ δι' εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, ἀλλὰ διὰ τὸ αὐτοῖς συμφέρον.

Ἀλώπηξ καὶ βάτος.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὠλιθήσασα, καταπίπτειν ἔμελλεν, ἐπελάβετο πρὸς βοήθειαν βάτου. καὶ δὴ τοὺς πόδας ἐπὶ τοῖς ἐκείνης κέντροις αἱμάξασα, καὶ ἀλγήσασα, πρὸς αὐτὴν εἶπεν· οἴμοι. καταφυγοῦσαν με γὰρ ἐπὶ σὲ ὡς ἐπὶ βοηθὸν, σὺ χεῖρον διέθηκας. ἀλλ' ἐσφάλης ὦ αὕτη, φησὶν, ἡ βάτος,





ἐμοῦ βουληθεῖσα ἐπιλαβέσθαι, ἥ τις πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοι, ὅσοι βοηθοῖς προστρέχουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

Ἀλώπηξ καὶ κροκόδειλος.

Ἀλώπηξ καὶ κροκόδειλος ἠμφισβήτουν περὶ εὐγενείας. πολλὰ δὲ τοῦ κροκοδείλου ὑπερήφανα περὶ τῆς τῶν προγόνων διεξιόντος λαμπρότητος, ὡς γεγυμνασιαρχηκότων, ἡ ἀλώπηξ ὑπολαβοῦσα, ὦ τᾶν, εἶπεν, ἀλλὰ κἂν μὴ σὺ λέγῃς, ἀπὸ τοῦ δέρματός γε φαίνῃ, ὡς ἐκ παλαιῶν ἐτῶν εἶ γεγυμνασμένος.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ψευδομένων ἀνδρῶν, ἔλεγχος τὰ πράγματα γίνεται.

Ἀλεκτρυόνες καὶ πέρδιξ.

Ἀλεκτρυόνας τις ἔχων ἐπὶ τῆς οἰκίας, πριάμενος καὶ πέρδικα, σὺν ἐκείνοις ἀφῆκε νέμεσθαι. τῶν δὲ τυπτόντων αὐτὸν, καὶ ἀπελαυνόντων, ἐκεῖνος ἠθύμει σφόδρα, νομίζων ὡς ἀλλόφυλος ταῦτα πάσχειν ὑπὸ τῶν ἀλεκτρυόνων. ὡς δὲ μετ' οὐ μικρὸν κἀκείνους ἑώρακε μαχομένους, καὶ ἀλλήλους κόπτοντας, τῆς λύπης ἀπολυθεὶς, εἶπεν· ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυπήσομαι, ὁρῶν καὶ αὐτοὺς μαχομένους ἀλλήλοις.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι, ῥᾳδίως φέρουσι τὰς παρὰ τῶν ἀλλοτρίων ὕβρεις, ὅταν αὐτοὺς ἴδωσι μηδὲ τῶν οἰκείων ἀπεχομένους.

Universidad de Deusto
Biblioteca



### Ἀλώπηξ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην. ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν ἔφη· ὢ οἵα κεφαλή, καὶ ἐγκέφαλον οὐκ ἔχει.

larva-terriculuz. El coco. vt plana. G.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

### Ἀνθρακεὺς καὶ κναφεύς.

Ἀνθρακεὺς ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ κναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. ὁ δὲ κναφεὺς ὑπολαβὼν ἔφη, ἀλλ' οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι. δέδια γάρ, μή πως ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

### Ἁλιεῖς.

Ἁλιεῖς εἷλκον σαγήνην. βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον καὶ ἐσκίρτων, πολλὴν εἶναι τὴν ἄγραν νομίζοντες. ὡς δ' ἐπὶ τὴν ἠιόνα ταύτην ἑλκύσαντες, τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ' ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο καὶ ἀλύειν, οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι, ὅσον ὅτι καὶ τἀναντία προυπειλήφασιν. εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε, μὴ ἀχθώμεθα ὦ ἑταῖροι, τῇ γὰρ ἡδονῇ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη. καὶ ἡμᾶς οὖν ἔδει τοσαῦτα προηδυνθέντας, πάντως τι καὶ λυπηθῆναι.

ἀλύω - anjmo consado. del mayor x pena. hoc est ἀθυμεῖν. letanti

ἐπιμύ-



ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀτυχίαις.

### Κομπαστής.

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθών, ἄλλα τε πολλὰ ἐν διαφόροις ἀνδραγαθήσαι χώραις ἐκόμπαζε, καὶ δὴ κἀν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οὗ οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. πρὸς τοῦτο δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. τῶν δὲ παρόντων τις ὑπολαβὼν, ἔφη· ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἔστιν, οὐδὲν δεῖ σοι μαρτύρων. ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

### Ἀδύνατα ἐπαγγελλόμενος.

Ἀνὴρ πένης νοσῶν, καὶ κακῶς διακείμενος, ἐπειδὴ πρὸς τῶν ἰατρῶν ἀπεγνώσθη, τῶν θεῶν ἐδεῖτο ὡς εἰ τὴν ὑγίειαν αὐτῷ πάλιν ἐπανελθεῖν ποιήσειαν, ἑκατὸν βόας αὐτοῖς προσοίσειν ὑπισχνούμενος εἰς θυσίαν. τῆς δὲ γυναικὸς αὐτοῦ πυθομένης, καὶ ποῦ σοι ταῦτα ἂν ὑγιάνῃς, ἐκεῖνος ἔφη, οἴει γὰρ ἀναστῆναί με ἐν τούτῳ, ἵν' οἱ θεοὶ ταῦτά με ἀπαιτήσωσιν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ῥᾳδίως κατεπαγγέλλονται, ἅπερ τελέσαι ἔργῳ οὐ προσδοκῶσιν.

### Κακοπράγμων.

Ἀνὴρ κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν Ἀπόλλωνα, πειρᾶσαι τοῦτον βουλόμενος. καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρί, καὶ τοῦτο τῇ ἐσθῆτι

Universidad de Deusto Biblioteca



σκεπάσασα, ἔστη τε τοῦ τρίποδος ἔγγιστα, καὶ ἤρετο τοῦτον λέγων, Ἄπολλον, ὃ μετὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν, ἢ ἄπνουν, βουλόμενος, ὡς εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον· εἰ δ' ἔμπνουν, εὐθὺς ἀποπνίξας, νεκρὸν ἐκεῖνο προσενεγκεῖν. ὁ δέ γε θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν· ὁπότερον ὦ οὗτος βούλει ποιῆσαι, ποίησον. παρὰ σοὶ κεῖται γὰρ τοῦτο πρᾶξαι, ἤτοι ζῶν ὃ κατέχεις, ἢ νεκρὸν ἀποδεῖξαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαραλόγιστον καὶ ἀλάθητον.

Ἁλιεῖς.

Ἁλιεῖς ἐξελθόντες εἰς ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες, οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν, καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. εὐθὺς δὲ θύννος ὑπὸ τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. οἱ δὲ τοῦτον λαβόντες, μεθ' ἡδονῆς ἀνεχώρησαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

Φέναξ. impostor.

Ἀνὴρ πένης νοσῶν, ηὔξατο τοῖς θεοῖς, εἰ διασωθείη, βοῦς ἑκατὸν εἰς θυσίαν προσοίσειν. οἱ δὲ θεοὶ πειρᾶσαι τοῦτον βουλόμενοι, τοῦ πάθους ἀπήλλαξαν. ὁ δ' ἀναστὰς, ἐπειδὴ βοῶν ἠπόρει, στεατίνους βοῦς ἑκατὸν πλάσας ἐπὶ τοῦ βωμοῦ θεὶς ὡλοκαύτωσεν. οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἀμύνασθαι, ὄναρ ἐπιστάντες αὐτῷ εἶπον· ἄπελθε εἰς τὸν αἰγιαλὸν εἰς τόνδε τὸν τόπον, ἐκεῖ δὲ





Ἀττικὰς χιλίας εὑρήσεις. ἐκεῖνος δὲ ἐνυπνιασθεὶς, σὺν ἡδονῇ καὶ σπουδῇ πρὸς τὸν ἀποδειχθέντα τόπον ἀφίκετο, τὸ χρυσίον διερευνῶν. ἐκεῖ δὲ δὴ πειραταῖς περιτυχὼν, ὑπ' αὐτῶν συνελήφθη. ἁλοὺς δὲ ἤδη, ἀφεθῆναι τῶν πειρατῶν ἐδεῖτο, χίλια χρυσίου τάλαντα δώσειν αὐτοῖς ὑπισχνούμενος. ὡς δ' οὐκ ἐπιστεύετο, ἀπαχθεὶς ὑπ' αὐτῶν ἀπεμπωλήθη χιλίων δραχμῶν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς ψευδέσι τῶν ἀνθρώπων ἐχθραίνει τὸ θεῖον.

Βάτραχοι.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο. θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. καὶ δὴ βαθεῖ περιέτυχον φρέατι. ὅπερ ἰδὼν ἅτερος, θατέρῳ φησί· συγκατέλθωμεν ὦ οὗτος εἰς τόδε τὸ φρέαρ. ὁ δὲ ὑπολαβὼν εἶπεν· ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

Γέρων καὶ θάνατος.

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους, καὶ ἐπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπαχθισμένος ἐβάδισε, ἀπειρηκὼς, ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη· ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος

Universidad de Deusto



ὤν, κἂν μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

Γραῦς καὶ ἰατρός.

Fide medico // vide plana. 68.

Γυνὴ γραῦς ἀλγοῦσα τοὺς ὀφθαλμοὺς, εἰσκαλεῖταί τινα τῶν ἰατρῶν ἐπὶ μισθῷ, συμφωνήσασα, ὡς εἰ μὲν θεραπεύσειεν αὐτήν, τὸν ὁμολογηθέντα μισθὸν αὐτῷ δώσειν· εἰ δὲ μή, μηδὲν δώσειν. ἐνεχείρησε μὲν οὖν ὁ ἰατρὸς τῇ θεραπείᾳ. καθ' ἡμέραν δὲ φοιτῶν ὡς τὴν πρεσβῦτιν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῇ χρίων, ἐκείνης μηδαμῶς ἀναβλέπειν ἐχούσης τὴν ὥραν ἐκείνην ὑπὸ τοῦ χρίσματος, αὐτὸς ἕν τι τῶν τῆς οἰκίας σκευῶν ἀφαιρούμενος, ὁσημέραι ἀπῄει. ἡ μὲν οὖν γραῦς τὴν ἑαυτῆς περιουσίαν ἑώρα καθ' ἑκάστην ἐλαττουμένην ἐπὶ τοσοῦτον, ὡς καὶ τέλος παντάπασιν αὐτῇ θεραπευθείσῃ μηδὲν ὑπολειφθῆναι. τοῦ δ' ἰατροῦ τοὺς συμφωνηθέντας μισθοὺς αὐτὴν ἀπαιτοῦντος ὡς καθαρῶς βλέπουσαν ἤδη, καὶ τοὺς μάρτυρας παραγαγόντος, μᾶλλον μὲν οὖν, εἶπεν, ἐκείνη τανῦν οὐδόπου βλέπω. ἡνίκα μὲν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν· νῦν δ' ὅτε με σὺ βλέπειν φῄς, οὐδόπου ἐκείνων ὁρῶ.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων ἐξ ὧν πλεονεκτοῦσι, λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

Γεωργὸς καὶ παῖδες αὐτοῦ.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς, ἔφη· παῖδες

ἐμοί,



ἐμοὶ ἐγὼ μὲν ἤδη τὸν βίον ὑπέξειμι, ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες εὑρήσετε πάντα. οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν, καὶ θησαυρῷ μὲν οὐ περιέτυχον. ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος, θησαυρός ἐστι τοῖς ἀνθρώποις.

Δεσπότης καὶ κύνες.

Ἀνήρ τις ὑπὸ χειμῶνος ἐν τῷ αὐτοῦ προαστείῳ ἀποληφθεὶς, πρῶτα μὲν τὰ πρόβατα κατέφαγεν, εἶτα τὰς αἶγας. τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος, καὶ τοὺς ἐργάτας βοῦς σφάξας, ἐθοινήσατο. οἱ δὲ κύνες ταῦτα ἰδόντες, διελέχθησαν πρὸς ἀλλήλους, φεύγωμεν ἀλλ' ἡμεῖς γε ἐντεῦθεν. εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τούτους μάλιστα φεύγειν καὶ φυλάττεσθαι χρὴ, οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

Γυνὴ καὶ ὄρνις.

Γυνὴ χήρα τις ὄρνιν εἶχεν, καθ' ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν. νομίσασα δὲ ὡς εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. ἡ δ' ὄρνις πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

Ἐπιμύ-

Universidad de Deusto Biblioteca



ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες, καὶ τὰ προόντα ἀποβάλλουσι.

Κυνόδηκτος.

Δηχθείς τις ὑπὸ κυνός, τὸν ἰασόμενον περιῄει ζητῶν. ἐντυχὼν δέ τις αὐτῷ, καὶ γνοὺς ὃ ζητεῖ, ὦ οὗτος, εἶπεν· εἰ σώζεσθαι βούλει, λαβὼν ἄρτον, καὶ τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας, τῷ δακόντι κυνὶ φαγεῖν ἐπίδος. κἀκεῖνος γελάσας, ἔφη· ἀλλ' εἰ τοῦτο ποιήσω, δεῖ με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθῆναι.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ εὐεργετούμενοι, μᾶλλον ἀδικεῖν παροξύνονται.

Νεανίσκοι καὶ μάγειρος.

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο, ὡς δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θατέρου καθῆκε κόλπον. ἐπιστραφέντος δὲ τοῦ μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν· ὁ δ' ἔχων, μὴ εἰληφέναι. ὁ δὲ μάγειρος αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν· ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ' ἐπιορκούμενον θεὸν οὐκ ἂν λήσεσθε.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήσομεν.

Ἐχθροί.

Δύο τινὲς ἀλλήλοις ἐχθραίνοντες, ἐπὶ τῆς αὐτῆς νεὼς ἔπλεον. ὧν ἅτερος μὲν ἐπὶ τῆς πρύμνης,

ἅτερος



ἅτερος δὲ ἐπὶ τῆς πρώρας ἐκάθητο. χειμῶνος δὲ ἐπιγενομένου, καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο, πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι. τοῦ δὲ τὴν πρώραν εἰπόντος, ἀλλ' ἔμοιγε οὐκ ἔστι λυπηρὸν, εἶπεν ὁ θάνατος, εἴ γε ὁρᾶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων οὐδὲν τῆς ἑαυτῶν βλάβης φροντίζουσιν, εἰ τοὺς ἐχθροὺς μόνον ἴδωσι πρὸ αὐτῶν κακουμένους.

Αἴλουρος καὶ μύες.

Ἐν οἰκίᾳ τινὶ πολλῶν μυῶν ὄντων αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα, καὶ καθ' ἕκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. οἱ δὲ καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους ὁρῶντες, ἔφασαν πρὸς ἀλλήλους, μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν ἀπολώμεθα. τοῦ γὰρ αἰλούρου μὴ δυναμένου δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σωθησόμεθα. ὁ δὲ αἴλουρος μηκέτι τῶν μυῶν κατιόντων, ἔγνω δι' ἐπινοίας αὐτοὺς σοφιζόμενος ἐκκαλέσασθαι. καὶ δὴ ἀπὸ πασσάλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπῃώρησε, καὶ προσεποιεῖτο νεκρὸν εἶναι. τῶν δὲ μυῶν τις παρακύψας, καὶ ἰδὼν αὐτὸν, ἔφη· ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι. saculg. costal. // θύλαξ.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρίσεσιν.

Ἀλώπηξ

## Ἀλώπηξ καὶ πίθηκος.

Ἐν συνόδῳ ποτὲ τῶν ἀλόγων ζώων ὠρχήσατο πίθηκος, καὶ εὐδοκιμήσας, βασιλεὺς ὑπ᾽ αὐτῶν ἐχειροτονήθη. ἀλώπηξ δ᾽ αὐτῷ φθονήσασα, ὡς ἔν τινι παγίδι κρέας ἐθεάσατο, τὸν πίθηκον λαβοῦσα, ἐνταῦθα ἤγαγεν, ὡς εὕροι μὲν αὐτὴ λέγουσα θησαυρὸν τοῦτον, μὴ μέντοι καὶ χρήσασθαι αὐτῷ. τῷ βασιλεῖ γὰρ τοῦτον ὁ νόμος δίδωσι. καὶ προὐτρέπετο αὐτὸν ἅτε δὴ βασιλέα τὸν θησαυρὸν ἀνελέσθαι. ὁ δ᾽ ἀπερισκέπτως προσελθὼν, καὶ συλληφθεὶς ὑπὸ τῆς παγίδος, ὡς ἐξαπατήσασαν ἐμέμφετο τὴν ἀλώπεκα. ἡ δὲ πρὸς αὐτὸν, ὦ πίθηκε, τοιαύτην σὺ μωρίαν ἔχων, τῶν ἀλόγων βασιλεύσεις;

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πράξεσί τισιν ἀπερισκέπτως ἐπιχειροῦντες, δυστυχήμασι περιπίπτουσι.

## Θύννος καὶ δελφίν.

Θύννος διωκόμενος ὑπὸ δελφῖνος, καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ σφοδρᾶς ῥύμης ἐκπεσὼν εἴς τινα ἠϊόνα. ὑπὸ δὲ τῆς ὁμοίας ῥύμης καὶ ὁ δελφὶν αὐτῷ συνεξώκειλεν. ὁ δὲ θύννος ἐπιστραφεὶς, καὶ λειποψυχοῦντα τὸν δελφῖνα ἑωρακὼς, εἶπεν· οὐκέτι μοι ὁ θάνατος λυπηρὸς, ὁρῶντι τὸν αἴτιον γεγονότα μοι τούτου σὺν ἐμοὶ ἀποθνήσκοντα.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ῥᾳδίως τὰς συμφορὰς οἱ ἄνθρωποι φέρουσι, τοὺς τούτων αἰτίους δυστυχοῦντας ὁρῶντες.

Ἰατρὸς

: In actis apostolorum cap. 27. legitur ἐπώκειλαν τὴν ναῦν. id est impegerunt navem. hoc est encallaron el navio en tierra. vide lexicum graecum in verbo ὀκέλλω. quod est applico. allido. frango. de navi cum tangit terram: hinc ἐξοκέλλω. ut εἰς τοσοῦτον δὲ ἐξώκειλε παρανοίας. eo dementiae devenit. seu provectus est. ut apud herodianum. et προσοκέλλω. idem quod ὀκέλλω. que es dicho en romance encallar el navio en la tierra. vel impingere. y es tanta la ligereza del delphin que salta sobre una nave y la salva y passa del otro cabo. y assi ἐκ[illegible] [illegible] θύννος. bolaron y cayeron en tierra do murieron. vide plana 306.



## Ἰατρὸς καὶ νοσῶν.

Ἰατρὸς νοσοῦντα ἐθεράπευε. τοῦ δὲ νοσοῦντος ἀποθανόντος, ἐκεῖνος πρὸς τοὺς ἐκκομίζοντας ἔλεγεν· οὗτος ὁ ἄνθρωπος εἰ οἴνου ἀπείχετο, καὶ κλυστῆρσιν ἐχρῆτο, οὐκ ἂν ἐτεθνήκει. τῶν δὲ παρόντων ὑπολαβών τις, ἔφη· βέλτιστε, οὐκ ἔδει σε ταῦτα νῦν λέγειν, ὅτε μηδὲν ὄφελός ἐστιν. ἀλλὰ τότε παραινεῖν, ὅτε τούτοις χρῆσθαι ἠδύνατο.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοὺς φίλους, ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν.

## Ἰξευτὴς καὶ ἔχις.

Ἰξευτὴς ἰξὸν ἀναλαβὼν καὶ καλάμους πρὸς ἄγραν ἐξῆλθεν. ἰδὼν δὲ κίχλαν ἐφ᾽ ὑψηλοῦ δένδρου καθεζομένην, καὶ τοὺς καλάμους ἀλλήλοις ἐπὶ μῆκος συνάψας ἄνω πρὸς αὐτὴν, συλλαβεῖν βουλόμενος ἐφεώρα. καὶ δὴ λαθὼν ἔχιν κοιμωμένην ὑπὸ πόδας ἐπάτησε. τῆς δ᾽ ὀργισθείσης καὶ δακούσης αὐτὸν, ἐκεῖνος ἤδη λειποψυχῶν ἔλεγε· δύστηνος ἐγώ. ἕτερον γὰρ θηρεῦσαι βουλόμενος, αὐτὸς ὑφ᾽ ἑτέρου ἠγρεύθην εἰς θάνατον.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πέλας ἐπιβουλεύοντες, λανθάνουσι πολλάκις ὑφ᾽ ἑτέρων τὸ αὐτὸ πάσχοντες.

: ἰξός. viscum. la liria con que cacan los xirgueritos.

κίχλα. turdus. avis. El tordo.

y aqui et plana 6 y 7. paresce que el ἰξευτής. no es caçador que caçe con lyria y varetas pues con lyria no se caçan palomas ni κίχλας.

## Κάστωρ.

Ὁ κάστωρ ζῶόν ἐστι τετράπουν, ἐν λίμναις τὰ πολλὰ διαιτώμενον. οὗ τὰ αἰδοῖά φασιν ἰατροῖς χρήσιμα εἶναι. οὗτος οὖν ἐπειδὰν ὑπ᾽ ἀνθρώπων διωκόμενος καταλαμβάνηται, γινώσκων οὗ χάριν

: κάστωρ. fiber.

διώκεται,

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



διώκεται, ἀποτεμὼν τὰ ἑαυτοῦ αἰδοῖα, ῥίπτει πρὸς τοὺς διώκοντας, καὶ οὕτω σωτηρίας τυγχάνει.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, οὐδένα λόγον τῶν χρημάτων ποιοῦνται.

Κύων καὶ μάγειρος.

Κύων εἰσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. ὁ δὲ μάγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν· ὦ οὗτος, ἴσθι ὡς ὅπου περ ἂν ἦς, φυλάξομαί σε· οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν ἔδωκας.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις, μαθήματα γίνονται.

Κύων καὶ λύκος.

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. λύκου δ' ἐπιδραμόντος, καὶ βρῶμα μέλλοντος θήσειν αὐτὸν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. νῦν μὲν γάρ φησι λεπτός εἰμι καὶ ἰσχνός· ἂν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους. κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν, ἐπιμελέστερος ἔσομαι, καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι. ὁ μὲν οὖν λύκος πεισθεὶς, ἀπῆλθε. μεθ' ἡμέρας δ' ἐπανελθὼν, εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα. καὶ στὰς κάτωθεν, πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. καὶ ὁ κύων, ἀλλ' ὦ λύκε εἰ τὸ ἀπὸ τοῦδε πρὸ τῆς ἐπαύλεως με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς.

ἐπιμύ-



ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες σωθῶσι, διὰ βίου τοῦτο φυλάττονται.

Κύων καὶ ἀλεκτρυών.

Κύων καὶ ἀλεκτρυὼν ἑταιρείαν ποιησάμενοι, ὥδευον. ἑσπέρας δὲ καταλαβούσης, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβάς· ὁ δὲ κύων πρὸς τῇ ῥίζῃ τοῦ δένδρου κοίλωμα ἔχοντος, τοῦ δὲ ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος, ἀλώπηξ ἀκούσασα, πρὸς αὐτὸν ἔδραμε· καὶ στᾶσα κάτωθεν, πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου. ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῶον ἔχον ἀσπάσασθαι. τοῦ δὲ εἰπόντος, τὸν θυρωρὸν πρότερον διυπνίσαι ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς ἐκείνου ἀνοίξαντος κατελθεῖν, κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων αἴφνης πηδήσας, αὐτὴν διεσπάραξεν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας, πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.

Λέων καὶ βάτραχος.

Λέων ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μὴ δεῖν πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι.

Universidad de Deusto Biblioteca



Λέων, ὄνος, καὶ ἀλώπηξ.

Λέων, καὶ ὄνος, καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς. ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τοῦτον προὔτρεπε. καὶ ὁ λέων θυμωθεὶς, τὸν ὄνον κατέφαγεν· εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπεν. καὶ ὁ λέων πρὸς αὐτὴν· τίς σε ὦ βελτίστη διαιρεῖν οὕτως ἐδίδαξεν; ἡ δ' εἶπεν, ἡ τοῦ ὄνου συμφορά. Simile plana. 114.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

Λέων καὶ ἄρκτος.

Λέων καὶ ἄρκτος ὁμοῦ βουβάλῳ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιάσαι, ἀπαυδήσαντες ἔκειντο. ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα, καὶ τὸν βούβαλον ἐν τῷ μέσῳ κείμενον, τοῦτον διὰ μέσου ἀμφοῖν διαδραμοῦσα καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. οἱ δὲ βλέποντες μὲν αὐτὴν, μὴ δυνάμενοι δὲ ἀναστῆναι, δείλαιοι ἡμεῖς εἶπον, ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων, ἄλλοι κερδαίνουσιν.

Μάντις.

Μάντις ἐπ' ἀγορᾶς καθήμενος, διελέγετο. ἐπιστάντος δέ τινος αἴφνης, καὶ ἀπαγγείλαντος,

ὡς αἱ



ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν, καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας, καὶ δρομαῖος ᾔει. τρέχοντά τε τις αὐτὸν θεασάμενος, οὗτος εἶπεν, ὁ τὰ ἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

Μύρμηξ καὶ περιστερά.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο. περιστερὰ δὲ τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα, εἰς τὴν πηγὴν ἔρριψεν. ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ, διεσώθη. ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς, ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. τοῦτο δ' ὁ μύρμηξ ἑωρακὼς, τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. ὁ δὲ ἀλγήσας, τούς τε καλάμους ἔρριψε, καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

Νυκτερὶς, καὶ βάτος, καὶ αἴθυια.

αἴθυια. mergus. vt plana. 280.

Νυκτερὶς, καὶ βάτος, καὶ αἴθυια ἑταιρείαν ποιησάμενοι, ἐμπορικὸν διέγνωσαν βίον ζῆν. ἡ μὲν οὖν νυκτερὶς ἀργύριον δανεισαμένη, κατέθηκεν εἰς τὸ μέσον. ἡ δὲ βάτος ἐσθῆτα μεθ' ἑαυτοῖς ἔλαβεν. ἡ δὲ αἴθυια τρίτη, χαλκὸν, καὶ ἀπέπλευσαν. χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, πάντα

 ἀπολέ

ἀποπλεύσαντος αὐτοὶ ἐπὶ τὴν γῆν διεσώθησαν. ἐξ ἐκείνου τοίνυν ἡ μὲν αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ προσεδρεύει, μήπου τὸν χαλκὸν ἐκβάλλῃ ἡ θάλαττα. ἡ δὲ νυκτερὶς τοὺς δανειστὰς φοβουμένη, τῆς μὲν ἡμέρας οὐ φαίνεται, νύκτωρ δ' ἐπὶ νομὴν ἔξεισιν. ἡ δὲ βάτος, τῆς τῶν παριόντων ἐσθῆτος ἐπιλαμβάνεται, εἴπου τὴν οἰκείαν ἐπιγνοίη ζητοῦσα.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι περὶ ἃ σπουδάζομεν, τούτοις ἐσύστερον περιπίπτομεν.

de medico vide sup. plana. 58.

Νοσῶν καὶ ἰατρός.

Νοσῶν τις ὑπὸ τοῦ ἰατροῦ ἐρωτώμενος ὅπως διετέθη, πλέον εἶπε τοῦ δέοντος ἱδρωκέναι. ὁ δὲ ἀγαθὸν ἔφη τοῦτ' εἶναι. ἐκ δευτέρου δὲ περὶ αὐτοῦ πάλιν ἐρωτηθεὶς ὅπως ἔχε, φρίκῃ συσχεθεὶς εἶπε σφοδρῶς διατετινάχθαι. ὁ δὲ καὶ τοῦτ' ἀγαθὸν ἔφησεν εἶναι. ἐκ δὲ τρίτου αὖθις ὅπως διεγένετο, εἶπεν ὑδέρῳ περιπεπτωκέναι. ὁ δὲ, καὶ τοῦτο πάλιν ἀγαθὸν εἶπεν εἶναι. εἶτα τῶν οἰκείων τινὸς αὐτὸν ἐρωτήσαντος, ὅπως ἔχεις, ἐγὼ εἶπεν ὦ οὗτος, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι.

ὕδερος. Intercus. ydrops.

de puro bueno me muero.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι μάλιστα τῶν ἀνθρώπων δυσχεραίνομεν τοὺς πρὸς χάριν ἀεὶ βουλομένους λέγειν.

Ξυλευόμενος καὶ ἑρμῆς.

Ξυλευόμενός τις παρὰ τοῦ ποταμοῦ, τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. ἀμηχανῶν τοίνυν, παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν, χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ εἰ οὗτός ἐστιν ὃν ἀπώλεσεν



λεσεν, ἤρετο. τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, πάντας αὐτῷ ἐδωρήσατο. ὁ δὲ παραγενόμενος, πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξεληλύθει, ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο. καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. ἐπιφανεὶς οὖν ὁ ἑρμῆς κἀκείνῳ, καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκεν. καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. τοῦ δὲ σὺν ἡδονῇ, ναὶ ἀληθῶς ἥδ' ἐστὶ φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

Ὄνος καὶ κηπωρός.

ΟΝΟΣ ὑπηρετούμενος κηπωρῷ, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πλεῖστα δ' ἐμόχθει, ηὔξατο τῷ διῒ, ὥστε τοῦ κηπωροῦ ἀπαλλαγεὶς ἑτέρῳ ἀπεμπποληθῆναι δεσπότῃ. τοῦ δὲ διὸς ἐπακούσαντος, καὶ κελεύσαντος αὐτὸν κεραμεῖ πραθῆναι, πάλιν ἐδυσφόρει πλέον ἢ πρότερον ἀχθοφορῶν, καὶ τόν τε πηλὸν, καὶ τὰς κεράμους κομίζων. πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέτευε, καὶ βυρσοδέψῃ ἀπεμπολεῖται. εἰς χείρονα τοίνυν τῶν προτέρων δεσπότην ἐμπεσὼν, καὶ ὁρῶν τὰ παρ' αὐτοῦ πραττόμενα, μετὰ στεναγμῶν ἔφη· οἴμοι τῷ ταλαιπώρῳ,



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



πώρῳ. βέλτιον ἦν μοι παρὰ τοῖς προτέροις δεσπόταις μένειν. οὗτος γὰρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κατεργάσεται.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς προτέρους δεσπότας οἱ οἰκέται ποθοῦσιν, ὅταν τῶν δευτέρων λάβωσι πεῖραν.

Ὀρνιθοθήρας καὶ κορυδαλός.

Ὀρνιθοθήρας ὄρνισιν ἵστη παγίδας. κορυδαλὸς δὲ τοῦτον πόρρωθεν ἰδὼν, ἐπυνθάνετο τί κατεργάζοιτο. τοῦ δὲ πόλιν κτίζειν φαμένου, εἶτα δὲ πορρωτέρω ἀποχωρήσαντος καὶ κρυβέντος, καὶ ὁ κορυδαλὸς τοῖς τοῦ ἀνδρὸς λόγοις πιστεύσας, προσελθὼν εἰς τὸν βρόχον ἑάλω. τοῦ δὲ ὀρνιθοθήρα ἐπιδραμόντος, ἐκεῖνος εἶπεν· ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζεις, οὐ πολλοὺς εὑρήσεις τοὺς ἐνοικοῦντας.

κορυδαλός. // galerita sive // alauda avicula // in vertice cristam // habens in modum // pavonis // mas el // lexico de Antonio // nebrissense la llama la cogujada.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσιν.

Ὁδοιπόρος.

Ὁδοιπόρος πολλὴν ἀνύσας ὁδὸν, ηὔξατο, εἰ ἄρα εὑρήσει τι, τὸ ἥμισυ τούτου τῷ Ἑρμῇ ἀναθήσειν. περιτυχὼν δὲ πήρᾳ μεστῇ φοινίκων καὶ ἀμυγδάλων, καὶ ταύτην ἀνελόμενος, ἐκείνους μὲν ἔφαγε. τὰ δὲ τῶν φοινίκων ὀστᾶ, καὶ τὰ τῶν ἀμυγδάλων κελύφη ἐπί τινος ἀνέθηκε βωμοῦ, φήσας· ἀπέχεις ὦ Ἑρμῆ τὴν εὐχήν. τοῦ γὰρ εὑρεθέντος τὰ ἐκτὸς καὶ ἐντὸς, πρὸς σὲ διανέμημαι.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρα φιλάργυρον, καὶ τοὺς θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

Παῖς



Παῖς καὶ μήτηρ.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας, ἤνεγκε τῇ μητρί. τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν. ἐπ᾽ αὐτοφώρῳ δέ ποτε ληφθεὶς, ἀπήγετο τὴν πρὸς θάνατον. τῆς δὲ μητρὸς ἑπομένης καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς τὸ οὖς. τῆς δὲ ταχέως τῷ στόματι τοῦ παιδὸς προσθείσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο. τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ᾽ ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν· αὕτη γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος. εἰ γὰρ ὅτε τὴν δέλτον ἐκεκλόφειν ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρήσας νῦν ἠγόμην ἐπὶ τὸν θάνατον.

τὴν δέλτον: // idest libretz ut // est videre ecclesiastica // ierarchia Dionysii areo // pagite cap. 3. // In principio fol. // 120 plana 2 // linea 18 in meo // libro greco.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ᾽ ἀρχὰς κολαζομένων, ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

Ποιμὴν καὶ θάλασσα.

Ποιμὴν ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορείαν. ἀπεμπολήσας οὖν τὰ πρόβατα, καὶ φοινίκων βαλάνους πριάμενος, ἀνήχθη. χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηῒ διεσώθη. μεθ᾽ ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς, ἐπὶ τῆς θαλάττης, ἔτυχε γὰρ αὕτη γαληνιῶσα, τὴν ἠρεμίαν θαυμάζοντος, ὑπολαβὼν οὗτος εἶπε· φοινίκων αὖθις ὡς ἔοικεν ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.

supra plana 101 // donde βαλάνους son // bellotas pero tan // bien son datiles // ergo es la fruta // de todo arbol se // mejante ut plana



ἐπιμύ-

Universidad de Deusto
Biblioteca



Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

Ῥοιὰ καὶ μηλέα.

ῥοιά. ας. // malum pu//nicum el mem//brillo Arbol. μηλέα el // mançano.

Ῥοιὰ καὶ μηλέα περὶ καλλονῆς ἤριζον. πολλῶν δ' ἀμφισβητήσεων μεταξὺ γενομένων, βάτος ἐκ τοῦ πλησίον ἀκούσασα φραγμοῦ, παυσώμεθα εἶπεν ὦ φίλαι ποτὲ μαχόμεναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐν ταῖς τῶν ἀμεινόνων στάσεσι, καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

Ἀσπάλαξ.

Ἀσπάλαξ. el topo. en latin // talpa.
ψηφίς. δος // lapillus. calculus.

Ὁ ἀσπάλαξ τυφλὸν ζῶόν ἐστι. φησὶν οὖν ποτὲ τῇ μητρί, συκαμινέαν μῆτερ ὁρῶ. εἶτα αὖθις φησί, λιβάνου ὀσμῆς πεπλήρωμαι. καὶ τρίτον πάλιν, χαλκῆς φησι ψηφῖδος κτύπον ἀκούω. ἡ δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν· ὦ τέκνον, ὡς ἤδη καταμανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς καὶ ὀσφρήσεως.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀλαζόνων, τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

Σφῆκες καὶ πέρδικες.

Σφῆκες καὶ πέρδικες δίψῃ συνεχόμενοι, πρὸς γεωργὸν ἦλθον, παρ' αὐτοῦ αἰτοῦντες πιεῖν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν. οἱ μὲν πέρδικες σκάψειν τὰς ἀμπέλους, οἱ δὲ σφῆκες κύκλῳ περιιόντες, τοῖς κέντροις ἀποσοβεῖν τοὺς κλέπτας. ὁ δὲ γεωργὸς ἔφη· ἀλλ' ἔμοιγέ εἰσι δύο

βόες,



βόες, οἳ μηδὲν ἐπαγγελλόμενοι, πάντα ποιοῦσιν. ἄμεινον οὖν ἐστιν ἐκείνοις δοῦναι, ἤπερ ὑμῖν.

Ἐπιμύθιον.

Ὁ μῦθος, πρὸς ἄνδρας ἐξώλεις, ὠφελεῖν μὲν ἐπαγγελλομένους, βλάπτοντας δὲ μεγάλα.

perniciosos. exitio // dignos.

Ταὼς καὶ κολοιός.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου διὰ κάλλος χειροτονεῖν. αἱρουμένων δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν ἔφη· ἀλλ' εἰ σοῦ βασιλεύοντος, ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

Μονιὸς καὶ ἀλώπηξ.

Μονιὸς ἄγριος ἐπί τινος ἑστὼς δένδρου, τοὺς ὀδόντας ἔθηγεν. ἀλώπεκος δ' ἐρομένης τὴν αἰτίαν, ὅτι μηδεμιᾶς προσκειμένης ἀνάγκης, τί τοὺς ὀδόντας θήγει; ἔφη, οὐκ ἀλόγως τοῦτο ποιῶ. εἰ γάρ με κίνδυνος περισταίη, οὐκοῦν με τηνικαῦτα πρὸς τοὺς ὀδόντας ἀκονᾶν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι.

porcus silves//tris. Jabali.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

Κορυδαλός.

la cogu//jada.

Κορυδαλὸς εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν· οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ. οὐ χρυσὸν ἐνοσφισάμην τινός, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν

e 5 τιμίων.

Universidad de Deusto Biblioteca



τιμίων. κόκκος δὲ σίτου μικρὸς, τὸν θάνατόν μοι προυξένησεν.

ἐπιμύθιον.

ὁ μῦθος πρὸς τοὺς διὰ κέρδος εὐτελοῦς, μέγαν ὑφισταμένους κίνδυνον.

Νεβρός.

la cerbatita /o cerbatito pequeño.

Νεβρός ποτε πρὸς τὴν ἔλαφον εἶπε· πάτερ, σὺ καὶ μείζων καὶ ταχύτερος κυνῶν πέφυκας. καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμυναν. τί δή ποτ᾽ οὖν οὕτω τούτους φοβῇ; κἀκεῖνος γελῶν εἶπεν· ἀληθῆ μὲν ταῦτα φῂς τέκνον. ἓν δ᾽ οἶδα, ὡς ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν οὐκ οἶδ᾽ ὅπως ἐκφέρομαι.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς, οὐδεμία παραίνεσις ῥώννυσιν.

Λαγωοὶ καὶ βάτραχοι.

Οἱ λαγωοί ποτε συνελθόντες, τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη καὶ δειλίας πλέως. καὶ γὰρ καὶ ὑπ᾽ ἀνθρώπων, καὶ κυνῶν, καὶ ἀετῶν, καὶ ἄλλων πολλῶν ἀναλίσκονται. βέλτιον οὖν εἶναι θανεῖν ἅπαξ, ἢ διὰ βίου τρέμειν. τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν ἐπὶ ταυτὸν εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσούμενοι καὶ ἀποπνιγησόμενοι. τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων, ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη· στῆτε ἑταῖροι· μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε. ἤδη ὡς ὁρᾶτε καὶ ἡμῶν ἕτερ᾽ ἐστὶ ζῶα δειλότερα.

// ᾔσθοντο. son // // sciunt. ἀπὸ // // τοῦ αἰσθάνομαι. sentio.

ἐπιμύ-



ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ δυστυχοῦντες, ἐξ ἑτέρων χείρονα παθόντων παραμυθοῦνται.

Ὄνος καὶ ἵππος.

Ὄνος ἵππον ἐμακάριζεν, ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς, αὐτὸς μηδ᾽ ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα πλεῖστα ταλαιπωρῶν. ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου, καὶ ὁ στρατιώτης ἔνοπλον ἀνέβη τὸν ἵππον, πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε, καὶ ὁ ἵππος πληγεὶς ἔκειτο. ταῦτα ἑωρακὼς ὁ ὄνος, τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ᾽ ἐκείνων φθόνον, καὶ τὸν κίνδυνον ἀναλογιζομένους τὴν πενίαν ἀγαπᾶν.

Φιλάργυρος.

Φιλάργυρός τις ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος, καὶ χρυσοῦν βῶλον ποιήσας ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν. καὶ καθ᾽ ἡμέραν ἐρχόμενος, αὐτὸν ἔβλεπε. τῶν ἐργατῶν τις αὐτὸν παρατηρήσας, καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν, καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο, καὶ τίλλειν τὰς τρίχας. τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν, καὶ τὴν αἰτίαν πυθόμενος, μὴ οὕτως εἶπεν ὦ οὗτος ἀθύμει. οὐδὲ γὰρ ἔχων τὸν χρυσὸν εἶχες. λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θές. καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι. τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν. ὡς ὁρῶ γὰρ, οὐδ᾽ ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τοῦ κτήματος.

ἐπιμύ-

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

Χῆνες καὶ γέρανοι.

Χῆνες καὶ γέρανοι ἐπί τινος λειμῶνος ἐνέμοντο. τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι κοῦφοι ὄντες, ταχέως ἀπέπτησαν. οἱ δὲ χῆνες διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

Χελώνη καὶ ἀετός.

Χελώνη ἀετοῦ ἐδεῖτο ἵπτασθαι ταύτην διδάξαι. τοῦ δὲ παραινοῦντος, πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκών, εἶτ' ἀφῆκεν. ἡ δὲ κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

Ψύλλα.

Ψύλλα ποτὲ πηδήσασα, ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν. ὁ δὲ τὸν Ἡρακλῆ ἐπὶ συμμαχίαν ἐκάλει. τῆς δὲ ἐκεῖθεν αὖθις ἀφαλλομένης, στενάξας εἶπεν· ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις;

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μὴ δεῖν ἐπὶ τῶν ἐλαχίστων τοῦ θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

Ἔλαφος.



Ἔλαφος.

Ἔλαφος τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν : obcecata. ἐπ' ἠιόνος ἐνέμετο, τὸν μὲν ὑγιᾶ τῶν ὀφθαλμῶν πρὸς τὴν ξηρὰν διὰ τοὺς κυνηγέτας ἔχουσα, τὸν δὲ λοιπὸν πρὸς θάλατταν, ὅθεν οὐδὲν ὑπώπτευε. παραπλέοντες δέ τινες, καὶ τούτου στοχασάμενοι, αὐτῆς κατετόξευσαν. ἡ δ' ἑαυτὴν ὠλοφύρετο, ὡς ὑφ' ἧς μὲν ἐδεδοίκει, μηδὲν παθοῦσα· ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν, ὑπὸ ταύτης προδεδομένη.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡμῖν τὰ βλαβερὰ δοκοῦντα, ὠφέλιμα γίνεται· τὰ δ' ὠφέλιμα, βλαβερά.

Ἔλαφος καὶ λέων.

Ἔλαφος κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ. λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. θνήσκουσα δ' ἔλεγεν· οἴμοι ὅτι ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

Ἔλαφος καὶ ἄμπελος. Simile plana 115

Ἔλαφος κυνηγοὺς φεύγουσα, ὑπ' ἀμπέλῳ ἐκρύβη. παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες, καὶ ὅπερ ἦν ἀληθές, νομίσαντες τῶν ζώων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. ἡ δὲ θνήσκουσα, τοιαῦτ' ἔλεγε· δίκαια πέπονθα, οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι.

ἐπιμύ-

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ ἀδικοῦντες τοὺς εὐεργέτας, ὑπὸ θεοῦ κολάζονται.

Ὄνος καὶ λέων.

Ὄνῳ ποτὲ ἀλεκτρυὼν συνεβόσκετο. λέοντος δ' ἐπελθόντος τῷ ὄνῳ, ὁ ἀλεκτρυὼν ἐφώνησε. καὶ ὁ μὲν λέων (φασὶ γὰρ τοῦτον τὴν ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι) ἔφυγεν. ὁ δ' ὄνος νομίσας δι' αὐτὸν πεφευγέναι, ἐπέδραμεν εὐθὺς τῷ λέοντι. ὡς δὲ πόρρω τοῦτον ἐδίωξεν, ἔνθα μηκέτι ἡ τοῦ ἀλεκτρυόνος ἐφικνεῖτο φωνή, στραφεὶς ὁ λέων κατεθοινήσατο. ὁ δὲ θνήσκων ἐβόα· ἄθλιος ἐγὼ καὶ ἀνόητος. πολεμιστῶν γὰρ μὴ ὢν γονέων, τίνος χάριν εἰς πόλεμον ἐξωρμήθην;

ἐπιμύθιον.

* ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ταπεινουμένοις ἐπίτηδες τοῖς ἐχθροῖς ἐπιτίθενται, καὶ οὕτως ὑπ' ἐκείνων ἀπόλλυνται.

Κηπωρὸς καὶ κύων.

Κηπωροῦ κύων εἰς φρέαρ κατέπεσεν. ὁ δὲ κηπωρὸς βουλόμενος αὐτὸν ἐκεῖθεν ἀνενεγκεῖν, κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ. οἰηθεὶς δ' ὁ κύων, ὡς κατωτέρω μᾶλλον αὐτὸν παραγέγονε καταδῦσαι, τὸν κηπωρὸν στραφεὶς ἔδακεν. ὁ δὲ μετ' ὀδύνης ἐπανιών, δίκαιά, [- homicidam -] φησι, πέπονθα. τί δήποτε γὰρ τὸν αὐτόχειρα σῶσαι ἐσπούδασα;

ἐπιμύθιον.

ὁ μῦθος πρὸς ἀδίκους καὶ ἀχαρίστους.

Σῦς καὶ κύων.

Σῦς καὶ κύων ἀλλήλοις διελοιδοροῦντο, καὶ ἡ μὲν σῦς ὤμνυε κατὰ τῆς Ἀφροδίτης, ἦ μὴν τοῖς ὀδοῦσιν

ἀναρρήξειν



ἀναρρήξειν τὴν κύνα. ἡ δὲ κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε· καλῶς κατὰ τῆς Ἀφροδίτης ἡμῖν ὀμνύεις. δηλοῖς [ostendis.] γὰρ ὑπ' αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι. ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γευόμενον, οὐδ' ὅλως εἰς ἱερὸν προσίεται. καὶ ἡ σῦς ἔφη· τοῦτο μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ θεὸς στέργουσά με. τὸν γὰρ κτείναντα, ἢ ἄλλως λυμαινόμενον παντάπασιν ἀποστρέφεται. σὺ μέντοι κακῶς ὄζεις καὶ ζῶσα καὶ τεθνηκυῖα.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων, τὰ ὑπὸ τῶν ἐχθρῶν ὀνείδη, εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσιν.

Ὗς καὶ κύων.

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. ἔφη δ' ἡ κύων εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν. καὶ ἡ ὗς ὑποτυχοῦσα πρὸς ταῦτά φησιν· ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

Ὄφις καὶ καρκῖνος.

Ὄφις καρκίνῳ συνδιητᾶτο, ἑταιρείαν πρὸς αὐτὸν ποιησάμενος. ὁ μὲν οὖν καρκῖνος ἁπλοῦς ὢν τὸν τρόπον, μεταβαλέσθαι κἀκεῖνον παρῄνει τῆς πανουργίας. ὁ δὲ οὐδόλως ἑαυτὸν παρεῖχε πειθόμενον. ἐπιτηρήσας δ' ὁ καρκῖνος αὐτὸν ὑπνοῦντα, καὶ ὅσον οἷόν τε πιέσας, φονεύει. τοῦ δ' ὄφεως μετὰ θάνατον ἐκταθέντος, ἐκεῖνος εἶπεν· οὕτως ἔδει καὶ πρόσθεν εὐθὺν καὶ ἁπλοῦν εἶναι, οὐδὲ γὰρ ἂν ταύτην τὴν δίκην ἔτισας.

ἐπιμυ-

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες, αὐτοὶ μᾶλλον βλάπτονται.

Ποιμὴν καὶ λύκος.

Ποιμὴν νεογνὸν λύκου σκύμνον εὑρών, καὶ ἀνελόμενος, σὺν τοῖς κυσὶν ἔτρεφεν. ἐπεὶ δὲ ηὐξήθη, εἴποτε λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον, καὶ διὰ ταῦτα ὑποστρεφόντων, ἐκεῖνος ἠκολούθει, μέχρις αὐτὸν καταλαβὼν, οἷα δὴ λύκος συμμετάσχῃ τῆς θήρας, εἶτα ὑπέστρεφεν. εἰ δὲ μὴ λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρα θύων, ἅμα τοῖς κυσὶν ἐθοινεῖτο. ἕως ὁ ποιμὴν στοχασάμενος, καὶ συνεὶς τὸ δρώμενον, εἰς δένδρον αὐτὸν ἀναρτήσας ἀπέκτεινεν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι φύσις πονηρὰ, χρηστὸν ἦθος οὐ τρέφει.

Λέων καὶ λύκος.

Λέων γηράσας, ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ. παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα, πλὴν ἀλώπεκος, τἆλλα τῶν ζώων. ὁ τοίνυν λύκος λαβόμενος εὐκαιρίας, κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο. ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα, καὶ τίς ἔφη τῶν συνελθόντων τοσοῦτον

ὠφέλησεν,



ὠφέλησεν, ὅσον ἐγὼ πανταχόσε περινοστήσασα, καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατρῶν ζητήσασα, καὶ μαθοῦσα. τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησὶν, εἰ λύκον ζῶντα ἐκδείρας, τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ. καὶ τοῦ λύκου κειμένου, ἡ ἀλώπηξ γελῶσα εἶπεν· οὕτως οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν κινεῖν, ἀλλὰ πρὸς εὐμένειαν. — vt plana. 23.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ καθ' ἑκάστην μηχανώμενος, καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

Γυνή.

Γυνή τις ἄνδρα μέθυσον εἶχε. τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα, τοιόνδε τι σοφίζεται. κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα, καὶ νεκροῦ δίκην ἀναισθητοῦντα, ἐπ' ὤμων ἄρασα, ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα κατέθετο, καὶ ἀπῆλθεν. ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα τὴν θύραν ἔκοπτε τοῦ πολυανδρείου. ἐκείνου δὲ φήσαντος, τίς ὁ τὴν θύραν κόπτων; ἡ γυνὴ ἀπεκρίνατο, ὁ τοῖς νεκροῖς τὰ σιτία κομίζων, ἐγὼ πάρειμι. κἀκεῖνος, μή μοι φαγεῖν, ἀλλὰ πιεῖν ὦ βέλτιστε μᾶλλον πρόσενεγκε. λυπεῖς γάρ με βρώσεως, ἀλλὰ μὴ πόσεως μνημονεύων. ἡ δὲ τὸ στῆθος πατάξασα, οἴμοι τῇ δυστήνῳ φησὶν. οὐδὲ γὰρ οὐδὲ σοφισαμένη ὤνησα. σὺ γὰρ ἄνερ οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας, εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους.

: en vn sepulchro y queba- a se dize. πολυάνδριον.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν. ἔστι γὰρ ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ τὸ ἔθος ἐπιτίθεται.

Universidad de Deusto Biblioteca



## Κύκνος.

Ἀνὴρ εὔπορος χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν, οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι· τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἕνεκεν. ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν, ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν, καὶ διαγνώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. ὁ δὲ κύκνος ἀντὶ τοῦ χηνὸς ἀπαχθείς, ᾄδει τι μέλος θανάτου προοίμιον. καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν, τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡ μουσική, τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

## Αἰθίοψ.

Αἰθίοπά τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν, ἀμελείᾳ τοῦ πρότερον ἔχοντος· καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν. καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

## Χελιδὼν καὶ κορώνη.

Χελιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν. ὑποτυχοῦσα δ' ἡ κορώνη πρὸς αὐτὴν εἶπεν· ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δ' ἐμὸν σῶμα καὶ χειμῶνι παρατείνεται.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἡ παράτασις τοῦ σώματος, εὐπρεπείας κρείττων ἐστί.





## Βούταλις.

Βούταλις ἀπό τινος θυρίδος ἐκρέματο. νυκτερὶς δὲ προσελθοῦσα, ἐπυνθάνετο τὴν αἰτίαν, δι' ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει. τῆς δὲ μὴ μάτην τοῦτο ποιεῖν λεγούσης, ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθη, καὶ διὰ τοῦτο ἀπ' ἐκείνου ἐσωφρονίσθη, ἡ νυκτερὶς εἶπεν· ἀλλ' οὐ νῦν σε φυλάττεσθαι δεῖ, ὅτε μηδὲν ὄφελος, ἀλλὰ πρὶν ἢ συλληφθῆναι.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἐπὶ τοῖς ἀτυχήμασιν ἀνόνητος ἡ μετάνοια.

## Κοχλίαι.

Γεωργοῦ παῖς ὤπτα κοχλίας. ἀκούσας δὲ αὐτῶν τριζόντων, ἔφη· ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε;

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον, ἐπονείδιστον.

## Γυνὴ καὶ θεράπαινα.

Γυνὴ χήρα φιλεργὸς θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα, πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν. συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις, χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. ἡ γὰρ δέσποινα ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.

ἐννυχώτερον muy de mañana. Vide. marc. evang. // cap. 1. ubi legitur // πρωῒ ἔννυχον λίαν // ἀναστάς.

Universidad de Deusto
Biblioteca



ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα κακῶν αἴτια γίνεται.

Γυνὴ μάγος.

Γυνὴ μάγος θείων μηνιμάτων ἀποτροπιασμοὺς ἐπαγγελλομένη, πολλὰ διετέλει ποιοῦσα, καὶ κέρδος οὐ τὸ τυχὸν ἐντεῦθεν ἔχουσα. γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας, εἷλον. καὶ καταδικασθεῖσαν, ἀπῆγον εἰς θάνατον. ἰδὼν δέ τις ἀπαγομένην αὐτήν, ἔφη· ἡ τὰς τῶν θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης;

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται, μηδὲ μικρὰ ποιῆσαι δυνάμενοι.

Γαλῆ. mustela

Γαλῆ εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. ξυομένης δὲ τῆς γλώττης, αἷμα πολὺ ἐφέρετο. ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶσσαν ἀνήλωσεν.

ἐπιμύθιον.

ὁ μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

Γεωργός.

Γεωργός τις σκάπτων, χρυσίῳ περιέτυχε. καθ' ἑκάστην οὖν τὴν γῆν ὡς ὑπ' αὐτῆς εὐεργετηθεὶς ἔστεφε. τῷ δὲ ἡ τύχη ἐπιστᾶσα, φησίν· ὦ οὗτος, τί τῇ γῇ τὰ ἐμὰ δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; εἰ γὰρ ὁ καιρὸς μεταβάλοι, καὶ πρὸς



καὶ πρὸς ἑτέρας χεῖρας τοῦτο τὸ σὸν χρυσίον ἔλθοι, οἶδ' ὅτι τηνικαῦτά με τὴν τύχην μέμψῃ.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι χρὴ τὸν εὐεργέτην ἐπιγινώσκειν, καὶ τούτῳ χάριτας ἀποδιδόναι.

Ὁδοιπόροι.

Δύο τινὲς κατὰ τὴν αὐτὴν ὡδοιπόρουν. τοῦ δὲ ἑτέρου πέλεκυν εὑρόντος, ὁ ἕτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτὸν μὴ λέγειν εὕρηκα, ἀλλ' εὑρήκαμεν. μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτόν, διωκόμενος, πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν, ἀπολώλαμεν. ὁ δ' εἶπεν, ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν. καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα ἔλεγες, οὐχ εὑρήκαμεν.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Βάτραχοι.

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίων. ἐνέμοντο δὲ ὁ μὲν εἰς ἐν βαθείᾳ, καὶ πόῤῥω τῆς ὁδοῦ λίμνῃ· ὁ δὲ ἐν ὁδῷ, μικρὸν ὕδωρ ἔχων. καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ θατέρῳ παραινοῦντος πρὸς αὐτὸν μεταβῆναι, ὡς ἂν ἀσφαλεστέρας διαίτης μεταλάβῃ, ἐκεῖνος οὐκ ἐπείθετο, λέγων, δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας. ἕως οὗ συνέβη ἅμαξαν παρελθοῦσαν αὐτὸν συνθλάσαι.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιχειροῦντες, φθάνουσιν ἀπολλύμενοι πρὶν ἐπὶ τὸ βέλτιον τραπέσθαι.

Universidad de Deusto
Biblioteca



Μελιττουργός.

Εἴς μελιττουργεῖόν τις εἰσελθὼν, τοῦ κεκτημένου ἀπόντος, τὸ κηρίον ἀφείλετο. ὁ δὲ ἐπανελθὼν, ἐπειδὴ τὰς κυψέλας εἶδεν ἐρήμους, εἱστήκει τὸ κατ' αὐτὰς διερευνώμενος. αἱ δὲ μέλισσαι ἀπὸ τῆς νομῆς ἐπανήκουσαι, ὡς κατέλαβον αὐτὸν, τοῖς κέντροις ἔπαιον, καὶ τὰ χείριστα διετίθουν. ὁ δὲ πρὸς αὐτὰς, κάκιστα ζῶα, τὸν μὲν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῷον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν πλήττετε;

capsam alvea- ria. Las colme- nas.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς, δι' ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

Ἀλκυών.

Ἀλκυὼν ὄρνις ἐστὶ φιλέρημος, ἀεὶ τῇ θαλάττῃ διαιτωμένη. ταύτην λέγεται τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην, ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. καὶ δή ποτε τίκτειν μέλλουσα ἐνεοττοποιήσατο. ἐξελθούσης δέ ποτε αὐτῆς εἰς νομὴν, συνέβη τὴν θάλασσαν ὑπὸ λάβρου κυματωθεῖσαν πνεύματος, ὑπεραρθῆναι τῆς καλιᾶς, καὶ ταύτην ἐπικλύσασαν, τοὺς νεοττοὺς διαφθεῖραι. ἡ δὲ ἐπανελθοῦσα καὶ γνοῦσα τὸ πραχθὲν, εἶπε· δειλαία ἔγωγε, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη, ἐπὶ ταύτην κατέφυγον, ἥ μοι πολλῷ γέγονεν ἀπιστοτέρα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺς ἐχθροὺς φυλαττόμενοι, λανθάνουσι πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

Ἁλιεύς.



Ἁλιεύς.

Ἁλιεύς ἔν τινι ποταμῷ ἡλίευεν. διατείνας δὲ τὰ δίκτυα, καὶ τὸ ῥεῦμα περιλαβὼν ἑκατέρωθεν, καλωδίῳ προσδήσας λίθον, τὸ ὕδωρ ἔτυπτεν. ὅπως οἱ ἰχθύες φεύγοντες, ἀπροφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις θεασάμενος τοῦτο ποιοῦντα, ἐμέμφετο ὡς τὸν ποταμὸν θολοῦντα, καὶ διειδὲς ὕδωρ μὴ συγχωροῦντα πίνειν. καὶ ὃς ἀπεκρίνατο· ἀλλ' εἰ μὴ οὕτως ὁ ποταμὸς ταράττεται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.

funiculo

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσιν περιαγάγωσιν.

Πίθηκος καὶ δελφίς.

Ἔθους ὄντος τοῖς πλέουσι, μελιταῖα κυνίδια καὶ πιθήκους ἐπάγεσθαι πρὸς παραμυθίαν τοῦ πλοῦ, πλέων τις, εἶχε σὺν ἑαυτῷ καὶ πίθηκον. γενομένων δὲ αὐτῶν κατὰ τὸ Σούνιον τὸ τῆς Ἀττικῆς ἀκρωτήριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. τῆς δὲ νεὼς περιτραπείσης, καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. δελφὶς δέ τις αὐτὸν θεασάμενος, καὶ ἄνθρωπον εἶναι ὑπολαβὼν, ἀπελθὼν ἀνεῖχε διακομίζων ἐπὶ τὴν χέρσον. ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου, εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος. τοῦ δὲ εἰπόντος, καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπανήρετο εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. ὑπολαβὼν δὲ ὁ πίθηκος περὶ ἀνθρώπου αὐτὸν λέγειν, ἔφη, καὶ μάλα φίλον εἶναι αὐτῷ καὶ

perritos fin- dos.

 συνήθη.

Universidad de Deusto
Biblioteca



σωνήθη. καὶ ὁ δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτήσας, βαπτίζων αὐτὸν ἀπέκτεινεν.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας, οἳ τὴν ἀλήθειαν οὐκ εἰδότες ἀπατᾶν νομίζουσιν.

## Μυῖαι.

ἘΝ τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον. ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον. ἀποπνιγόμεναι δ' ἔλεγον, ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἡ λιχνεία, πολλῶν κακῶν αἰτία γίνεται.

## Ἑρμῆς καὶ ἀγαλματοποιός.

ἙΡμῆς γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστὶν, ἧκεν εἰς ἀγαλματοποιοῦ, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ. καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς, ἠρώτα πόσου τις αὐτὸ πρίασθαι δύναται. τοῦ δὲ εἰπόντος δραχμῆς, γελάσας, πόσου τὸ τῆς Ἥρας ἔφη; εἰπόντος δὲ, πλείονος· ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα, καὶ νομίσας ὡς ἐπειδὴ ἄγγελός ἐστι θεῶν, καὶ κερδῷος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. ὁ δ' ἀγαλματοποιὸς ἔφη· ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοι δίδωμι.

ἐπιμύθιον.

Ὁ μῦθος, πρὸς ἄνδρα κενόδοξον, οὐδεμιᾷ παρὰ ἄλλοις ὄντα τιμῇ.

## Ἑρμῆς καὶ τειρεσίας.

ἙΡμῆς βουλόμενος τὴν τειρεσίου μαντικὴν, εἰ ἀλη-

θής ἐστι



θής ἐστι, γνῶναι, κλέψας τὰς αὐτοῦ βοῦς ἐξ ἀγροικίας, ἧκεν ὡς αὐτὸν εἰς ἄστυ ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ παρ' αὐτῷ κατήχθη. τῆς δὲ τῶν βοῶν ἀπωλείας ἀγγελθείσης τῷ τειρεσίᾳ, ἐκεῖνος παραλαβὼν τὸν ἑρμῆν ἐξῆλθεν, οἰωνόν τινα περὶ τοῦ κλέπτου σκεψόμενος. καὶ τούτῳ παρῄνει φράζειν αὐτῷ, ὅν τινα ἂν τῶν ὀρνίθων θεάσηται. ὁ δ' ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ διιπτάμενον, ἔφρασε. τοῦ δὲ φήσαντος μὴ πρὸς αὐτοὺς εἶναι τοῦτον, ἐκ δευτέρου κορώνην εἶδεν ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ πρὸς τὴν γῆν κατακύπτουσαν. καὶ τῷ μάντει φράζει. καὶ ὃς ὑποτυχὼν εἶπεν, ἀλλ' αὕτη γε ἡ κορώνη διόμνυται τόν τε οὐρανὸν, καὶ τὴν γῆν, ὡς ἐὰν σὺ θέλῃς, τὰς ἐμὰς ἀπολήψομαι βοῦς.

ἐπιμύθιον.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις, πρὸς ἄνδρα κλέπτην.

## Κύνες.

ἜΧων τις δύο κύνας, τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. καὶ δὴ εἴποτε ὁ θηρευτικὸς ἠγρευέ τι, καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης. ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ, κἀκεῖνον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν καθ' ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς εἶπε· μὴ ἐμὲ, ἀλλὰ τὸν δεσπότην μέμφου, ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστά-



μενοι,

Universidad de Deusto Biblioteca

: Educaberint.

-μενοι, οὐ μέμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

Ἀνὴρ καὶ γυνή.

Ἔχων τις γυναῖκα πρὸς τοὺς κατ' οἶκον ἅπαντας ἀπεχθῶς ἔχουσαν, ἠβουλήθη γνῶναι εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας οὕτω διάκειται. διὸ δὴ καὶ μετ' εὐλόγου προφάσεως πρὸς τὸν αὐτῆς αὐτὴν ἀποστέλλει πατέρα. μετὰ δ' ὀλίγας ἡμέρας ἐπανελθούσης αὐτῆς, ἐπυνθάνετο πῶς πρὸς τοὺς ἐκεῖ διεγένετο. τῆς δὲ φαμένης, ὡς οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπεβλέποντο, πρὸς αὐτὴν ἔφη· ἀλλ' ὦ γύναι, εἰ τούτοις ἀπεχθάνῃ, οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾶν περὶ τούτων, οἷς πᾶσαν συνδιέτριβες τὴν ἡμέραν.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα, καὶ ἐκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζεται.

Ἔριφος καὶ λύκος.

Ἔριφος ὑστερήσασα τῆς ποίμνης, ὑπὸ λύκου κατεδιώκετο. ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν εἶπεν· ὦ λύκε, ἐπεὶ πέπεισμαι ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησόν πρότερον ὅπως ὀρχήσομαι. τοῦ δὲ λύκου αὐλοῦντος, καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες ἀκούσαντες, τὸν λύκον ἐδίωκον. ὁ δὲ ἐπιστραφείς, τῇ ἐρίφῳ φησί· δικαίως ταῦτά μοι γίνεται. ἔδει γάρ με μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῶν μὲν πρὸς ἃ πεφύκασιν

ἀμελοῦ-



ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι, δυστυχίαις περιπίπτουσιν.

Καρκίνος καὶ ἀλώπηξ.

Καρκίνος ἀπὸ τῆς θαλάσσης ἀναβάς, ἐπί τινος ἐνέμετο τόπου. ἀλώπηξ δὲ λιμώττουσα ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. ὁ δὲ μέλλων καταβιβρώσκεσθαι; ἔφη· ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὤν, χερσαῖος ἠβουλήθην γενέσθαι.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλιπόντες ἐπιτηδεύματα, καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσιν.

Κιθαρῳδός.

Κιθαρῳδὸς ἀφυὴς ἐν οἴκῳ κεκονιαμένῳ συνήθως ᾄδων, καὶ ἀντηχούσης αὐτῷ τῆς φωνῆς, ᾠήθη σφόδρα εὔφωνος εἶναι. καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ, ἔγνω δεῖν καὶ θεάτρῳ ἑαυτὸν ἐπιδοῦναι. ἀφικόμενος δὲ ἐπιδείξασθαι, καὶ κακῶς ᾄδων πάνυ, λίθοις αὐτὸν ἐξώσαντες ἀπήλασαν.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν ταῖς σχολαῖς δοκοῦντες εἶναί τινες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοί εἰσιν.

Κλέπται.

Κλέπται εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, ὅτι μὴ ἀλεκτρυόνα. καὶ τοῦτον λαβόντες ἀπῄεσαν. ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι, ἐδεῖτο ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων· χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. οἱ δὲ ἔφασαν·

ἀλλὰ

Universidad de Deusto Biblioteca



ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν. ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηστοῖς ἐστὶν εὐεργετήματα.

Κορώνη καὶ κόραξ.

Κορώνη φθονήσασα κόρακι, ἐπὶ τῷ διὰ οἰωνῶν τοῖς ἀνθρώποις μαντεύεσθαι, καὶ διὰ τοῦτο μαρτυρουμένῳ ὡς προλέγοντι τὸ μέλλον, θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον. καὶ στᾶσα, μεγάλως ἔκραξεν. τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων, καὶ καταπλαγέντων, ὑποτυχών τις ἔφη· ἀπίωμεν ὦ οὗτοι. κορώνη γάρ ἐστιν, ἥτις κέκραγε, καὶ οἰωνισμὸν οὐκ ἔχει.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἁμιλλώμενοι, πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι, καὶ γέλωτα ὀφλισκάνουσι.

Κορώνη καὶ κύων.

Κορώνη Ἀθηνᾷ θύουσα, κύνα ἐπὶ ἑστίασιν ἐκάλει. ὁ δὲ πρὸς αὐτὴν ἔφη· τί μάτην τὰς θυσίας ἀναλίσκεις; ἡ γὰρ θεὸς οὕτω σε μισεῖ, ὡς καὶ τῶν συντρόφων σοι οἰωνῶν τὴν πίστιν περιελεῖν. καὶ ἡ κορώνη πρὸς αὐτόν· διὰ τοῦτο μᾶλλον αὐτῇ θύω, ἵνα διαλλαγῇ μοι.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ διὰ κέρδος τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσιν.

Κόραξ καὶ ὄφις.

Κόραξ τροφῆς ἀπορῶν, ὡς κατεῖδεν ἔν τινι εὐηλίῳ

τόπῳ



τόπῳ ὄφιν κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. τοῦ δὲ ἐπιστραφέντος, καὶ δακόντος αὐτόν, ἀποθνήσκειν μέλλων εἴρηκε. δείλαιος ἔγωγε, ὃς τοιοῦτον εὗρον ἕρμαιον, ἐξ οὗ καὶ ἀπόλλυμαι.

plana ·31· lucrum.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρα, διὰ θησαυρῶν εὕρεσιν ἐπὶ σωτηρίᾳ κινδυνεύσαντα.

Κολοιὸς καὶ περιστεραί.

Κολοιὸς ἔν τινι περιστερῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. αἱ δὲ μέχρι μὲν ἡσύχαζον, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο. ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλασαν παίουσαι. καὶ ὃς ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. κἀκεῖνοι διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μετ' αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

= pica- graculus // monedula.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους, ὅτι ἡ πλεονεξία πρὸς τῷ μηδὲν ὠφελεῖν, ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

Κολοιός.

Κολοιόν τις συλλαβών, καὶ δήσας αὐτοῦ τὸν πόδα λίνῳ, τῷ ἑαυτοῦ παρέδωκε παιδί. ὁ δὲ μὴ ὑπομείνας τὴν μετ' ἀνθρώπων δίαιταν, ὡς πρὸς ὀλίγον ἀδείας ἔτυχε, φυγὼν ἧκεν εἰς τὴν ἑαυτοῦ καλιάν. περιειληθέντος δὲ τοῦ δεσμοῦ τοῖς κλάδοις, ἀποπτῆναι μὴ δυνάμενος, ἐπειδὴ ἀποθνήσκειν ἔμελλε, πρὸς ἑαυτὸν ἔφη·

Universidad de Deusto Biblioteca



τὸν ἔφη· δείλαιος ἔγωγε, ὃς τὴν τῶν ἀνθρώπων μὴ ὑπομένων δουλείαν, ἔλαθον ἐμαυτὸν τῆς ζωῆς στερήσας.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τινές εἰσιν, οἵ τε μετρίων κινδύνων ἑαυτοὺς βουλόμενοι ῥύσασθαι, εἰς μείζονας περιπίπτουσιν.

Ἑρμῆς.

Ζεὺς Ἑρμῇ προσέταξε πᾶσι τοῖς τεχνίταις τὸ ψεύδους φάρμακον ἐγχέειν. ὁ δὲ τοῦτο τρίψας, καὶ μέτρον ποιήσας, ἴσον ἑκάστῳ ἐνέχεεν. ἐπεὶ δὲ μόνου τοῦ σκυτέως ὑπολειφθέντος, πολὺ κατελέλειπτο φάρμακον, ὅλην λαβὼν τὴν θυείαν ἐνέχεεν αὐτῷ. καὶ τούτου συνέβη τοὺς τεχνίτας ἅπαντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας. los capateros.

El mortero // θυεία.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς τοὺς ψευδολόγους τεχνίτας.

Ζεύς.

Ζεὺς πλάσας τοὺς ἀνθρώπους, τὰς μὲν ἄλλας διαθέσεις αὐτοῖς ἐνέθηκε. μόνην δ' ἐνθεῖναι τὴν αἰσχύνην ἐπελάθετο. διὸ καὶ μὴ ἔχων πόθεν αὖ αὐτὴν εἰσαγάγῃ, διὰ τοῦ ὄρρου αὐτὴν εἰσελθεῖν ἐκέλευσεν. ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγεν ἀναξιοπαθοῦσα. ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη· ἀλλ' ἔγωγε ἐπὶ ταύταις εἰσέρχομαι ταῖς ὁμολογίαις, ὡς ἂν ἔρως μὴ εἰσέλθῃ. ἂν δ' εἰσέλθῃ, αὐτὴ ἐξελεύσομαι παραυτίκα. ἀπὸ δὴ τούτου συνέβη πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ὑπ' ἔρωτος κατεχομένους, ἀναισχύντους εἶναι συμβαίνει.

Ζεύς.



Ζεύς.

Ζεὺς γάμους τελῶν, πάντα τὰ ζῶα εἱστία. μόνης δὲ τῆς χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως, ἐπυνθάνετο αὐτῆς, τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο. τῆς δὲ εἰπούσης, οἶκος φίλος, οἶκος ἄριστος· ἀγανακτήσας κατ' αὐτῆς, κατεδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.

ὑστερησάσης.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς παρ' ἑαυτοῖς ζῆν, ἢ παρ' ἄλλοις πολυτελῶς.

ptenuiter. frugaliter. pamucha costa.

λύκος καὶ πρόβατον.

Λύκος ὑπὸ κυνῶν δηχθεὶς, καὶ κακῶς πάσχων, ἐβέβλητο. τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραρρέοντος αὐτῷ ποταμοῦ κομίσαι. εἰ γὰρ σύ μοί φησι δώσεις ποτὸν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω. τὸ δὲ ὑποτυχὸν ἔφη· ἀλλ' ἐὰν ἐγὼ ποτὸν ἐπιδῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρα κακοῦργον, δι' ὑποκρίσεως ἐνεδρεύοντα.

Λαγωοί.

Λαγωοί ποτε πολεμοῦντες τοῖς ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. αἱ δὲ ἔφασαν· ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κρείττοσι φιλονεικοῦντες, τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

Μύρμηξ.

Universidad de Deusto Biblioteca



Μύρμηξ.

Μύρμηξ ὁ νῦν, τὸ παλαιὸν ἄνθρωπος ἦν. καὶ τῇ γεωργίᾳ διηνεκῶς προσέχων, οὐ τοῖς ἰδίοις ἠρκεῖτο πόνοις, ἀλλὰ καὶ τοὺς τῶν γειτόνων καρποὺς ὑφῃρεῖτο. ὁ δὲ Ζεὺς ἀγανακτήσας ἐπὶ τῇ τούτου πλεονεξίᾳ, μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ μύρμηξ καλεῖται. ὁ δὲ τὴν μορφὴν ἀλλάξας, τὴν διάθεσιν οὐ μετέβαλε. μέχρι γὰρ τοῦ νῦν τὰς ἀρούρας περιιών, τοὺς τῶν ἑτέρων πόνους συλλέγει, καὶ ἑαυτῷ ἀποθησαυρίζει.

: las parbas. bel // Arva. los cãpos.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φύσει πονηροί, κἂν τὰ μάλιστα τοῦ εἴδους μεταβληθῶσι, τὸν τρόπον οὐ μεταβάλλονται.

Νυκτερὶς καὶ γαλῆ.

Νυκτερὶς ἐπὶ γῆς πεσοῦσα, ὑπὸ γαλῆς συνελήφθη. καὶ μέλλουσα ἀναιρεῖσθαι, περὶ σωτηρίας ἐδεῖτο. τῆς δὲ φαμένης, μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι, φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν, αὐτὴ ἔλεγεν, οὐκ ὄρνις, ἀλλὰ μῦς εἶναι, καὶ οὕτως ἀφείθη. ὕστερον δὲ πάλιν πεσοῦσα, καὶ ὑφ' ἑτέρας συλληφθεῖσα γαλῆς, μὴ βρωθῆναι ἐδεῖτο. τῆς δὲ εἰπούσης ἅπασιν ἐχθραίνειν μυσίν, αὐτὴ μὴ μῦς, ἀλλὰ νυκτερὶς ἔλεγεν εἶναι. καὶ πάλιν ἀπελύθη. καὶ οὕτω συνέβη δὶς αὐτὴν ἀλλαξαμένην τὸ ὄνομα, σωτηρίας τυχεῖν.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἀεὶ ἐπιμένειν λογιζομένους, ὡς οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι, πολλάκις τοὺς κινδύνους ἐκφεύγουσιν.

ὁδοιπόροι.



ὁδοιπόροι.

Ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντες, ἦλθον ἐπί τινα σκοπιάν. κἀκεῖθεν θεασάμενοι φρύγανα πόρρωθεν ἐπιπλέοντα, ναῦν εἶναι μεγάλην ᾠήθησαν. διὸ δὴ προσέμενον, ὡς μελλούσης αὐτῆς προσορμίζεσθαι. ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα ἐγγυτέρω ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδόκουν βλέπειν. ἐξενεχθέντα δ' αὐτὰ φρύγανα ὄντα ἰδόντες, πρὸς ἀλλήλους ἔφασαν· ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προσεδεχόμεθα;

Simile plana. 63.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.

ὄνος ἄγριος.

Ὄνος ἄγριος ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν, ἐπί τε τῇ εὐεξίᾳ τοῦ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ὑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη· ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω. ὁρῶ γάρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἔστι ζηλωτά, τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν κέρδη.

ὄνοι.

Ὄνοι ποτὲ ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τῶν πόνων αἰτούμενοι. ὁ δ' αὐτοῖς ἐπιδεῖξαι βουλό-

Universidad de Deusto
Biblioteca



μενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη, τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποιήσωσι ποταμόν, κἀκεῖνοι αὐτὸν ἀληθεύειν ὑπολαβόντες, ἀπ' ἐκείνου καὶ μέχρι τοῦ νῦν ἔνθα οὖρον ἑτέρων ἴδωσιν ὄνων, ἐνταῦθα καὶ αὐτοὶ περιιστάμενοι οὐροῦσιν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἑκάστῳ τὸ πεπρωμένον ἀπαράτρεπτόν ἐστιν.

Ὄνος καὶ ἀλώπηξ.

Ὄνος ἐνδυσάμενος λεοντῆν, περιῄει τὰ ἄλλα τῶν ζώων ἐκφοβῶν. καὶ δὴ θεασάμενος ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. ἡ δέ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα, πρὸς αὐτὸν ἔφη· ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξω δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

Ὄνος καὶ βάτραχοι.

Ὄνος ξύλα βαστάζων, διέβαινέ τινα λίμνην. ὀλισθήσας δὲ ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος, ὠδύρετό τε καὶ ἔστενεν. οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι τῶν στεναγμῶν τούτου ἀκούσαντες, ὦ οὗτος ἔφασαν, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς· ὅτε πρὸς ὀλίγον πεσών, οὕτως ὀδύρῃ.

ἐπιμύθιον.

Τούτῳ τῷ λόγῳ χρήσαιτ' ἄν τις πρὸς ἄνδρα ῥᾳθυμον ὑπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείονας ῥᾳδίως ὑφιστάμενος.

ὄνος



Ὄνος καὶ κόραξ.

Ὄνος ἡλκωμένος τὸν νῶτον, ἔν τινι λειμῶνι ἐνέμετο. κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ, καὶ τὸ ἕλκος ξαίνοντος, ὁ ὄνος ὠγκᾶτο καὶ ἥλατο. τοῦ δὲ ὀνηλάτου πόρρωθεν ἱσταμένου καὶ γελῶντος, λύκος παριὼν αὐτὸν εἶδε, καὶ ἔφη· ἄθλιοι ἡμεῖς, οἳ κἂν μόνον ὀφθῶμεν αὐτῷ διωκόμεθα, τούτῳ δὲ καὶ προσγελῶσιν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων, καὶ μόνον φανέντες δῆλοί εἰσιν.

Ὄνος καὶ ἀλώπηξ.

Ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους, ἐξῆλθον εἰς ἄγραν. λέοντος δὲ αὐτοῖς περιτυχόντος, ἡ ἀλώπηξ τὸν ἐπηρτημένον ὁρῶσα κίνδυνον, προσελθοῦσα τῷ λέοντι, παραδώσειν αὐτῷ τὸν ὄνον ὑπέσχετο, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος, ἐκείνη παραγαγοῦσα τὸν ὄνον, εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρώτην τὴν ἀλώπεκα συνέλαβεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες, λανθάνουσι πολλάκις καὶ αὑτοὺς προσαπολλῦντες.

Ὄρνις καὶ χελιδών.

gallina. Ὄρνις ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. χελιδὼν δὲ θεασαμένη αὐτήν, ἔφη· ὦ ματαία, τί ταῦτα τρέφεις, ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται;

Universidad de Deusto
Biblioteca



ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἀπιθάσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

Κάμηλος.

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες, καὶ τὸ μέγεθος καταπλαγέντες, ἔφευγον. ὡς δὲ χρόνου προϊόντος, συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάρρησαν μέχρι τοῦ προσελθεῖν. αἰσθόμενοι δὲ κατὰ μικρὸν τὸ ζῶον, ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥστε καὶ χαλινοὺς αὐτῇ περιθέντες, παισὶν ἐλαύνειν δεδώκασιν.

: χολὴν. legito.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων, ἡ συνήθεια εὐκαταφρόνητα ποιεῖ.

Ὄφις.

Ὄφις ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος, τῷ Διὶ ἐνετύγχανεν. ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἐπλήξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιστάμενοι, τοῖς ἄλλοις φοβεροὶ γίνονται.

Περιστερά.

Περιστερὰ δίψῃ συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι τόπῳ κρατῆρα ὕδατος γεγραμμένον, ἐνόμισεν ἀληθινὸν εἶναι. διὸ καὶ πολλῷ τῷ ῥοίζῳ ἐνεχθεῖσα, ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα, ὡς καὶ τῶν πτερῶν αὐτῆς περικλασθέντων καταπεσεῖν ἐπὶ γῆν, καὶ ὑπό τινος τῶν παρατυχόντων ἁλῶναι.

: multo impetu.

ἐπιμύ-



ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρὰς προθυμίας, ἀπερισκέπτως πράγμασιν ἐγχειροῦντες, ἐμβάλλουσιν ἑαυτοὺς εἰς ὄλεθρον.

Περιστερὰ καὶ κορώνη.

Περιστερὰ ἔν τινι περιστερῶνι τρεφομένη, ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. κορώνη δ' αὐτῆς ἀκούσασα, ἔφη· ἀλλ' ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ σεμνυνομένη. ὅσῳ γὰρ ἂν πλείονα τίκτῃς, τοσούτῳ καὶ πλείους λύπας συνάγεις.

: el palomar.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ πολλὰ τέκνα ποιοῦσιν.

Πλούσιος.

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς μιᾶς ἀποθανούσης, θρηνούσας ἐμισθώσατο. τῆς δὲ ἑτέρας παιδὸς λεγούσης, ὡς ἄθλιαι ἡμεῖς, αἵ γε αὐταὶ ὧν ἐστι τὸ πένθος θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μὴ προσήκουσαι οὕτω σφοδρῶς κόπτονται. ἡ μήτηρ ἔφη· μὴ θαύμαζε τέκνον, εἰ αὗται οὕτω θρηνοῦσιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν.

: lloranderas. θρηνούσας.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

: hazellas interese suyo.

Ποιμήν.

Ποιμὴν ἐλάσας εἴς τινα δρυμῶνα τὰ πρόβατα, ὑποστρώσας ὑπὸ δρυῒ τὸ ἱμάτιον, καὶ ἀναβὰς τὸν καρπὸν κατέσειε. τὰ δὲ πρόβατα ἐσθίοντα τὰς βαλάνους, ἔλαθον καὶ τὰ ἱμάτια συγκαταφαγόντα. ὁ δὲ ποιμὴν καταβάς, ὡς εἶδε τὸ γεγονός, ὦ κάκιστα ἔφη ζῶα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρέχετε, ἐμοῦ δὲ τὲ-

: parbol q [illegible] bellotas. las bellotas. y βαλάνους τῶν φοινίκων. Son los datyles. vt plana. 71.

Universidad de Deusto
Biblioteca



δὲ τρέφοντος ὑμᾶς, καὶ τὸ ἱμάτιον ἀφέλεσθε.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ πολλοὶ τῶν ἀνθρώπων διὰ ἄνοιαν, τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες, κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

Ἁλιεὺς καὶ σμαρίς.

Ἁλιεὺς τὸ δίκτυον χαλάσας ἐν τῇ θαλάττῃ, ἀνήνεγκε σμαρίδα. σμικρὰ δὲ οὖσα, ἱκέτευεν αὐτὸν νῦν μὲν μὴ λαβεῖν αὐτήν, ἀλλ᾽ ἐᾶσαι διὰ τὸ σμικρὰν τυγχάνειν. ἀλλ᾽ ὅταν αὐξηθῶ, καὶ μεγάλη φησὶ γένωμαι, συλλαβεῖν με δυνήσῃ, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν ἔσομαι. καὶ ὁ ἁλιεὺς εἶπεν· ἀλλ᾽ ἔγωγε ἀνόητος ἂν εἴην, εἰ τὸ ἐν χερσὶ παρεὶς κέρδος, κἂν σμικρὸν ᾖ, τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχῃ, ἐλπίζειν.

*: genus pusilli piscis quem aliqui menydam putant*

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἀλόγιστος ἂν εἴη, ὁ διὰ ἐλπίδα μείζονος, τὰ ἐν χερσὶν ἀφεὶς σμικρὰ ὄντα.

Ἵππος καὶ ὄνος.

Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. ὁδευόντων δὲ ἐν τῇ ὁδῷ, εἶπεν ὁ ὄνος τῷ ἵππῳ· ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν. ὁ δὲ οὐκ ἐπείσθη. ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου, ἐτελεύτησεν. τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ, καὶ αὐτὴν τὴν ὄνου δορὰν, θρηνῶν ὁ ἵππος ἐβόα· οἴμοι τῷ παναθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ. μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.

*- σῶν. salvum - -*

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, ἀμφότεροι σωθήσονται ἐν βίῳ.

Ἄνθρωπος



Ἄνθρωπος καὶ σάτυρος.

Ἄνθρωπός τις πρὸς σάτυρον φιλίαν ποιησάμενος, συνεσθίων ἦν αὐτῷ. χειμῶνος δὲ καὶ ψύχους γενομένου, ὁ ἄνθρωπος τὰς χεῖρας αὐτοῦ προσφέρων τῷ στόματι ἀπέπνει. τοῦ δὲ σατύρου ἐπερωτήσαντος, διὰ ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· τὰς χεῖρας μου θερμαίνω ἐκ τοῦ κρύους. μετὰ μικρὸν δὲ ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος προσφέρων τῷ στόματι ἔφυσα αὐτό. πυνθανομένου δὲ πάλιν, διὰ ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· τὸ ἔδεσμα καταψύχω. ὑπολαβὼν δὲ ὁ σάτυρος, ἀλλ᾽ ἔγωγε ἔφη ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῆς φιλίας, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξάγεις.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ φεύγειν ἡμᾶς τὰς φιλίας, ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

Ἀλώπηξ καὶ δρυοτόμος.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα, καὶ ἐν ἐρημίᾳ πολὺν δρόμον ἀνύουσα, ἄνδρα δρυοτόμον εὗρεν ἐν ταύτῃ, ὃν καθικέτευε τοῦ κρύψαι αὐτήν. τοῦ δὲ ὑποδειξάντος αὐτῇ τὴν ἑαυτοῦ καλύβην, εἰσελθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας. τῶν δὲ κυνηγετῶν ἐλθόντων καὶ ἐρωτώντων τὸν ἄνδρα, οὗτος τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι. τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυ. οἱ δὲ μὴ προσχόντες, ἀπῆλθον παραχρῆμα. ὡς δὲ εἶδεν αὐτοὺς ἡ ἀλώπηξ παρελθόντας, ἐξῆλθεν οὐ προσφωνοῦσα. μεμφομένου δὲ αὐτὴν ἐκείνου, ὡς σωθεῖσαν μὲν δι᾽ αὐτοῦ, χάριτας δὲ αὐτῷ οὐχ ὁμολογοῦσαν, ἡ ἀλώπηξ ἐπιστραφεῖσα ἔφη, ὦ οὗτος, ἀλλ᾽ ἔγωγε ᾔδειν ἄν σοι χάριτας, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς, καὶ τοὺς τρόπους εἶχες.

*: tugurium. la choça. καλύβη.*

*= Sin despedirse. :–*



ἐπιμύ-

ἐπιμύθιον.

ὁ μῦθος πρὸς τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους τοῖς λόγοις, ἐναντία δὲ ποιοῦντας τοῖς ἔργοις.

Ἄνθρωπος καταθραύσας ἄγαλμα.

Ἄνθρωπός τις ξύλινον ἔχων θεόν, καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. ὡς οὖν ταῦτα ἔπραττε, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθείς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔρριψεν εἰς τὸ ἔδαφος. προσκρουσάσης οὖν τῆς κεφαλῆς, καὶ αὐτίκα κλασθείσης, χρυσὸς ἔρρευσεν ὅτι πλεῖστος. ὅνπερ δὴ συνάγων ὁ ἄνθρωπος ἐβόα· στρεβλὸς ὑπάρχεις, ὥς γε οἶμαι, καὶ ἀγνώμων. τιμῶντά σε γάρ ἥκιστά με ὠφέλησας, τύψαντα δέ σε πολλοῖς καλοῖς ἀμείβῃ.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον· τύπτων δὲ αὐτὸν μᾶλλον ὠφελήσῃ.

Ἄνθρωπος καὶ κύων.

del perro que bolo por la benta-na.

Ἄνθρωπός τις ἡτοίμαζε δεῖπνον, ἑστιάσων τινὰ τῶν φίλων αὐτῷ καὶ οἰκείων. ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει, λέγων· ὦ φίλε, δεῦρο συνδείπνησόν μοι. ὁ δὲ προσελθών, χαίρων ἵστατο βλέπων τὸ μέγα δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ· βαβαί, πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη. τραφήσομαί τε γάρ, καὶ εἰς κόρον δειπνήσω, ὥστε με αὔριον μηδαμῆ γε πεινάσαι. ταῦτα καθ᾽ ἑαυτὸν λέγοντος τοῦ κυνός, καὶ ἅμα σείοντος τὴν κέρκον, ὡς δὴ εἰς τὸν φίλον θαῤῥοῦντος, ὁ μάγειρος ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, κατασχὼν τὰ σκέλη αὐτοῦ, ἔρριψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. ὁ δὲ καταπεσών, ἀπῄει μεγά-

Ibi ὧδε κἀκεῖσε. andaba este perro por la casa muy ligero. como yerno ruyn en casa de suegro rico.

De las ventanas.

λως κρά-



λως κράζων. τῶν τις δὲ κυνῶν, τῶν καθ᾽ ὁδὸν αὐτῷ συναντώντων, ἐπηρώτα, πῶς ἐδείπνησας φίλος; ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη· ἐκ τῆς πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον, οὐδὲ τὴν ὁδὸν αὐτὴν ὅθεν ἐξῆλθον οἶδα.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς ἐξ ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

Ἁλιεύς.

Ἁλιεὺς ἁλιευτικῆς ἄπειρος, λαβὼν αὐλοὺς καὶ δίκτυα, παρεγένετο εἰς τὴν θάλασσαν. καὶ στὰς ἐπί τινος πέτρας, τὸ μὲν πρῶτον ηὔλει, νομίζων πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐφάλλεσθαι. ὡς δ᾽ ἐπὶ πολὺ διατεινόμενος ἤνυεν οὐδέν, ἀποθέμενος τοὺς αὐλούς, ἀναλαμβάνει τὸ ἀμφίβληστρον. καὶ βαλὼν κατὰ τοῦ ὕδατος, πολλοὺς ἰχθύας ἤγρευσεν. ἐκβαλὼν δὲ αὐτοὺς ἀπὸ τοῦ δικτύου, ὡς εἶδε πηδῶντας, ἔφη· ὦ κάκιστα ζῶα, ὅτε ηὔλουν, οὐκ ὠρχεῖσθε· ὅτε δὲ πέπαυμαι, τοῦτο ποιεῖτε.

ἐπιμύθιον.

ὁ μῦθος πρὸς τοὺς παρὰ λόγον καὶ παρὰ καιρόν τι πράττοντας.

Βουκόλος.

Βουκόλος ἀγέλην ταύρων βόσκων, ἀπώλεσε μόσχον. περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον, διέτριβεν ἐρευνῶν. ὡς δὲ οὐδὲν εὑρεῖν ἐδυνήθη, ηὔξατο τῷ Διΐ, ἂν τὸν λαβόντα μόσχον κλέπτην ὑποδείξῃ, ἔριφον εἰς θυσίαν προσάξειν. καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα, εὑρίσκει λέοντα κατεσθίοντα τὸν μόσχον. ἔμφοβος

Se detubo.



Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca



οἷα γενόμενος, καὶ μέγα δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν· ὦ δέσποτα Ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον δώσειν, ἐὰν τὸν κλέπτην εὕρω, νῦν ταῦρόν σοι θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω.

ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας δυστυχεῖς, οἳ τινὲς ἀποροῦντες μὲν, εὔχονται εὑρεῖν· εὑρόντες δὲ, ζητοῦσιν ἀποφυγεῖν.

Κόραξ.

Κόραξ νοσῶν, ἔφη τῇ μητρί· μῆτερ εὔχου τοῖς θεοῖς, καὶ μὴ θρήνει. ἡ δ' ὑπολαβοῦσα ἔφη· τίς σε ὦ τέκνον τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη;

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες, οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

Ἀετός.

Ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο, λαγωὸν θηρεῦσαι ζητῶν. τοῦτον δέ τις ἔβαλε τοξεύσας, καὶ τὸ μὲν βέλος ἐντὸς αὐτοῦ εἰσῆλθεν· ἡ δὲ γλυφὴ σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. ὁ δὲ ἰδὼν ἔφη· καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἀποθνήσκειν.

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν, ὅταν τις ἐκ τῶν ἰδίων κινδυνεύσῃ.

Τέττιξ καὶ μύρμηκες.

Χειμῶνος ὥρᾳ τὸν σῖτον βραχέντα, οἱ μύρμηκες ἔψυχον. τέττιξ δὲ λιμώττων, ᾔτει αὐτοὺς τροφήν. οἱ δὲ

2 τύχω · ἔψυ // · χον · se refresca // van del calor del verano pasado ·



μύρμηκες εἶπον αὐτῷ· διατί τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν· οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. οἱ δὲ γελάσαντες εἶπον· ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

: notabe el spacio por // q estava cantando ·

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

Σκώληξ καὶ ἀλώπηξ.

Ὁ τῷ πηλῷ κρυπτόμενος σκώληξ εἰς γῆν ἐξελθὼν, ἔλεγε πᾶσι τοῖς ζώοις· ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷός ἐστιν ὁ τῶν θεῶν ἰατρὸς Παιών. καὶ πῶς, εἶπεν ἀλώπηξ, ἄλλους ἰώμενος, σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ πεῖρα, πᾶς λόγος ἀργὸς ὑπάρχει.

Ὄρνις χρυσοτόκος.

Ὄρνιθά τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν. καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

ὄρνιξ · por gallina se toma aquí et alibi · por qual // quier ave · ut plana · 111 · vide pla · 117 ·

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

Λέων καὶ ἀλώπηξ.

Λέων γηράσας, καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν, ἔγνω δι' ἐπινοίας τι πρᾶξαι. καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ, καὶ κατακλιθεὶς προσεποιεῖτο νοσεῖν, παραγενόμενα οὕτω τὰ

ζῶα

ζῶα ἐπισκέψεως χάριν, συλλαμβάνων κατήσθιεν αὐτά. πολλῶν οὖν ζώων ἀναλωθέντων, ἀλώπηξ τὸ τέχνασμα τοῦτο γνοῦσα, παρεγένετο πρὸς αὐτόν. καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου, ἐπυνθάνετο πῶς ἔχει. τοῦ δὲ εἰπόντος κακῶς, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν οὐκ εἰσέρχεται, ἡ ἀλώπηξ ἔφη· ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων, ὀλίγων δὲ ἐξιόντων.

*ex oratio. quia me vestigia terrent // oia te adversus // spectantia, nulla retrorsus.*

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσιν.

Λύκος καὶ γραῦς.

Λύκος λιμώττων, περιῄει ζητῶν τροφήν. γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος· καὶ γραὸς λεγούσης αὐτῷ, παῦσαι τοῦ κλαίειν· εἰ δὲ μή, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. οἰόμενος δὴ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ· ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν ὦ τέκνον αὐτόν. ταῦτα ἀκούσας ὁ λύκος, ἐπορεύετο, λέγων· ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

*-stetit Sepos*

ἐπιμύθιον.

Ὁ μῦθος, πρὸς ἀνθρώπους, οἵτινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

Ἔριφος καὶ λύκος.

Ἔριφος ἐπί τινος δώματος ἑστώς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. ὁ δὲ λύκος ἔφη· ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

*Simile Infra In fabula // penultima:- plana // //.112.*

ἐπιμύ-



ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

Ἡμίονος.

Ἡμίονος ἐκ κριθῆς παχυνθείς, ἀνεσκίρτησε βοῶν, καὶ λέγων· πατήρ μου ἐστὶν ἵππος ὁ ταχυδρόμος, κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην. καί ποτε ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθην.

*forte est legendum ὑπεμνήσθη-*

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι κἂν ὁ χρόνος εἰς δόξαν φέρῃ τινά, τῆς ἑαυτοῦ [illegible] τύχης μὴ ἐπιλανθανέσθω· ἀβέβαιος γάρ ἐστιν ὁ βίος οὗτος.

Ὄφις καὶ γεωργός.

Ὄφις ἐν γεωργοῦ προθύροις φωλεύων, ἀνεῖλεν αὐτοῦ τὸ νήπιον παιδίον. πένθος δὲ τοῖς γονεῦσιν ἐγένετο μέγα. ὁ δὲ πατὴρ ὑπὸ τῆς λύπης πέλεκυν λαβών, ἔμελλε τὸν ὄφιν ἐξελθόντα φονεύσειν. ὡς δὲ ἔκυψε μικρόν, σπεύσας ὁ γεωργὸς τοῦ πατάξαι αὐτόν, ἠστόχησε, μόνον κρούσας τὴν τῆς ζώλλης ὀπήν. ἀπελθόντος δὲ τοῦ ὄφεως, ὁ γεωργὸς νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν, λαβὼν ἄρτον καὶ ἅλας, ἔθηκεν ἐν τῇ ζώλλῃ. ὁ δὲ ὄφις λεπτὸν συρίξας, εἶπεν· οὐκ ἔσται ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τύμβον τοῦ σοῦ τέκνου.

*id est. τῆς ζώγλης // ὀπήν -// simile // plana-115-*

ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς μίσους ἢ ἀμύνης ἐπιλανθάνεται, ἐφ' ὅσον βλέπει μνημόσυνον, δι' οὗ ἐλυπήθη.

Σαλπιγκτής.

Σαλπιγκτὴς στρατὸν ἐπισυνάγων, καὶ κρατηθεὶς

ὑπὸ τῶν

Universidad de Deusto Biblioteca



ὑπὸ τῶν πολεμίων, ἐβόα· μὴ κτείνετέ με ὦ ἄνδρες εἰκῇ καὶ μάτην, οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα. πλὴν γὰρ τοῦ χαλκοῦ τούτου, οὐδὲν ἄλλο κτῶμαι. οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.

*f. frustra et inutiliter*

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

*f. los malos consejeros.*

Κάλαμος καὶ ἐλαία.

Διὰ καρτερίαν καὶ ἰσχὺν καὶ ἡσυχίαν κάλαμος καὶ ἐλαία ἤριζον. τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας, ὡς ἀδυνάτου καὶ ῥαδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος σιωπῶν οὐκ ἐφθέγξατο. καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρός, ὁ μὲν κάλαμος ὑποσεισθεὶς καὶ ὑποκλινθεὶς τοῖς ἀνέμοις ῥαδίως, διεσώθη. ἡ δ' ἐλαία ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιστάμενοι, κρείττους εἰσὶ τῶν πρὸς μείζονας φιλονεικούντων.

Λύκος καὶ γέρανος. *la grulla.*

Λύκου λαιμῷ ὀστέον ἐπεπήγει. ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. ἡ δὲ τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. ὅς τις γελάσας, καὶ τοὺς ὀδόντας θήξας, ἀρκεῖ σοι μισθὸς ἔφη τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆρας κάραν σώαν, μηδὲν παθοῦσαν.

*pesquecilarga.*

ἐπιμύ-



ἐπιμύθιον.

ὁ μῦθος πρὸς ἄνδρας, οἵ τινες ἀπὸ κινδύνων διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

Ἀλέκτορες.

Ἀλεκτόρων δύο μαχομένων περὶ τῶν θηλειῶν ὀρνίθων, ὁ εἷς τὸν ἕτερον κατετροπώσατο. καὶ ὁ μὲν ἡττηθεὶς εἰς τόπον κατάσκιον ἀπιὼν ἐκρύβη. ὁ δὲ νικήσας, εἰς ὕψος ἀρθείς, καὶ ἐφ' ὑψηλοῦ τοίχου στάς, μεγαλοφώνως ἐβόησε· καὶ παραυτίκα ἀετὸς καταπτάς, ἥρπασεν αὐτόν. ὁ δ' ἐν σκότῳ κεκρυμμένος, ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινε.

*ὄρνιθες. las gallinas. ut plana 33. do son sotras aves qualesquiera.*

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

*λόγια τοῦ θεοῦ. citantur hic quia hoc habetur in prima petri epist. sola cap. 5. et Jacobi cap. 4.*

Γέρων καὶ θάνατος.

Γέρων ποτὲ ξύλα κόψας, καὶ ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε. καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐν τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο. τοῦ δὲ θανάτου παριόντος, καὶ πυνθανομένου τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη· ἵνα μου τὸν φόρτον ἄρῃς.

ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος, εἰ καὶ δυστυχεῖ, καὶ πτωχὸς ἔνι.

*ἔνι. id est sit.*

Βάτραχοι.

Βάτραχοι δύο ξηρανθείσης τῆς λίμνης, ἐν ᾗ κατῴκουν, περιῄεσαν ζητοῦντες ποῦ καταμεῖναι. καὶ ἐλθόντες εἰς φρέαρ βαθύ, καὶ κύψαντες κάτω, καὶ ἰδόντες τὸ ὕδωρ, ὁ μὲν εἷς συνεβούλευεν, ἵνα πηδήσωσι παραυτίκα κάτω. ὁ δ' ἕτερος εἶπεν· εἰ δὲ καὶ τοῦτο ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι;

ἐπιμύ-

Universidad de Deusto Biblioteca



ἐπιμύθιον.

ὁ μῦθος δηλοῖ, ἄνευ συμβουλῆς μὴ ποιεῖν τι.

Ἀρνὸς καὶ λύκος.

Ἀρνὸς ἐφ᾽ ὑψηλοῦ τόπου ἱστάμενος, λύκον κάτωθεν παριόντα τὴν ὁδὸν ἔσκωπτε· καὶ θηρεῖον κακὸν ἀπεκάλει, καὶ ὠμοβόρον. ὁ δὲ λύκος στραφείς, εἶπε πρὸς αὐτόν· οὐ σύ με λοιδορεῖς, ἀλλ᾽ ὁ πύργος, ἐν ᾧ ἵστασαι. · Simile plana · 108 ·

ἐπιμύθιον.

ὁ μῦθος πρὸς τοὺς ὑπομένοντας ὕβριν ἀπὸ ἀναξίων ἀνθρώπων, διὰ φόβον ὑψηλοτέρων.

Κώνωψ καὶ λέων.

Κώνωψ πρὸς λέοντα ἐλθὼν εἶπε· οὐδὲ φοβοῦμαί σε, οὐδὲ δυνατώτερός μου εἶ. εἰ δὲ μή, τί σοί ἐστιν ἡ δύναμις, ὅτι ξύεις τοῖς ὄνυξι, καὶ δάκνεις τοῖς ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος. εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον. καὶ σαλπίσας ὁ κώνωψ, ἐνεπήγετο δάκνων τὰ περὶ τὰς ῥῖνας αὐτοῦ ἄτριχα πρόσωπα. ὁ δὲ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτόν, ἕως οὗ ἠγανάκτησεν. ὁ δὲ κώνωψ νικήσας τὸν λέοντα, καὶ σαλπίσας, καὶ ἐπινίκιον ᾄσας, ἔπτατο. ἀράχνης δὲ δεσμῷ ἐμπλακείς, ἐσθιόμενος ἀπωδύρετο· ὅτι μεγίστοις πολεμῶν, ὑπὸ εὐτελοῦς ζώου τοῦ ἀράχνης ἀπώλετο.

ἐπιμύθιον.

ὁ μῦθος πρὸς τοὺς καταβάλλοντας μέγα, καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

ΤΕΛΟΣ ΤΩΝ ΑΙΣΩΠΟΥ ΜΥΘΩΝ.





# ΓΑΒΡΙΟΥ ΕΛΛΗΝΟΣ τετράστιχα.

Περὶ ἀνθρώπου, καὶ λιθίνου λέοντος.

Ἀνδρὸς ποσὶν πατεῖτο πετρινὸς λέων,
καί τις λέων, τί, φησι, τὴν ἰσχὺν βλέπεις;
ἀλλ᾽ εἰ λέοντες εἶπον ᾔδεσαν γλύφειν,
πολλοὺς ἂν εἶδες ὄντας ἀνθρώπους λίθους.

Ἐπιμύθιον. ὅτι ἐπ᾽ ἀρετῇ οὐ δεῖ σεμνύνεσθαι.

Περὶ λέοντος κοιμωμένου, καὶ μυός.

Λέοντος ὑπνώττοντος, αὐχένος μέσον
διέδραμε μῦς. ὃς δ᾽ ἀνέστη συντόμως,
γελᾷ δ᾽ ἀλώπηξ, καὶ λέων ἀπεκρίθη,
οὐ μὲν φοβοῦμαι, τὴν ὁδὸν δ᾽ ἀνατρέπω.

Ἐπιμύθιον. ὅτι οὐ δεῖ καὶ μικρὰν καταφρόνησιν ἀποστρέφεσθαι.

Περὶ λέοντος καὶ κάπρου, καὶ γυπῶν.

Λέων μάχην ἔστησε πρὸς ποτὲ κάπρον.
γῦπες δ᾽ ἄνωθεν ἐσκόπευον τὴν ἔριν.
βρῶσιν τὸν ἡττηθέντα ποιῆσαι τάχα.
φίλους δ᾽ ὁρῶντες, ἠστόχουν τῆς ἐλπίδος.

Ἐπιμύθιον. ὅτι οὐ δεῖ ἀλλοτρίοις κακοῖς ἐπιχαίρειν.

Περὶ δορκάδος καὶ λέοντος θυμωθέντος. — δορκάς. caprea // damam vertit po//litianus.

Λέοντα δορκὰς ὡς ἴδεν μεμηνότα,
ὦ μοῖρα θηρῶν εἶπεν ἀθλιωτάτη.
εἰ σωφρονῶν γε, δυσκάθεκτος εἶ λέων,
πῶς νῦν μανεὶς οὐ μὲν δακρύων δράσεις;

Ἐπιμύθιον. ὅτι ἐξουσίαν ἔχοντα οὐ δεῖ θυμοῦσθαι.

Περὶ λέοντος, ὄνου, ἀλώπεκος.

Λέων, ὄνος, κερδώ, τε πρὸς θήραν ἴον.
ὄνου δὲ ταύτην εἰς τρίτον δεδασμένου,
λέων κατεσπάραξε, κερδὼ δὲ πλέον
νείμασ' αὐτῷ σωφρονισθεῖσ' ἐξ ὄνου. simile plana 66

Ἐπιμύθιον. ὅτι δεῖ ἐξ ὧν πάσχουσιν ἕτεροι, παιδεύεσθαι.

Περὶ ὄνου βαστάζοντος εἴδωλον.

Ὤμοις ὄνος ἐπῆγεν ἀργυροῦν βρέτας,
ὅπερ συνάντων, πᾶς τις αὖ προσεκύνει.
τύφῳ δ' ἐπαρθεὶς, μὴ θέλων μένειν ὄνος,
ἤκουσεν, οὐ θεὸς σύ, τὸν θεὸν δ' ἄγεις.

Ἐπιμύθιον. ὅτι τοὺς ἐν ἀξιώμασι τιμωμένους δεῖ γινώσκειν, ὅτι ἄνθρωποί εἰσιν.

Περὶ παιδὸς ἐσθίοντος σπλάγχνα.

Βοὸς φαγὼν παῖς εἰς ἑορτὴν ἔγκατα,
οἴμοι κέκληγ' ὡς σπλάγχνα μήτηρ ἐκχέω.
ἡ δ' αὖ γελῶσα, μὴ φοβοῦ τέκνον, ἔφη,
τῶν σῶν γὰρ οὐδὲν, ἀλλ' ἐμέεις ἀλλοτρίων.

Ἐπιμύθιον. ὅτι δεῖ τἀλλότρια ἀντιστρέφειν, καὶ μὴ γογγύζειν.

Περὶ ἀλώπεκος, καὶ βάτου.

Φραγμοὺς ἀλώπηξ ὡς ὑπερβαίνειν θέλων,
ὀλισθάνουσα, καὶ βάτου δεδραγμένη,
πέλμα. planta // pedis. — ἔξεσε πέλμα, λοιδορεῖ δὲ τὴν βάτον·
μέμφου σεαυτήν, μὴ μέ περ κεῖνος φυτό.

Ἐπιμύθιον. πρὸς τοὺς τὰ ἑαυτῶν κακὰ σιωπῶντας, τὰ δὲ τῶν ἑτέρων κατηγοροῦντας.

Περὶ



Περὶ κώνωπος, καὶ ταύρου.

Κώνωψ καθῆστο πρὸς κέρας ταύρου πάλαι,
ὃν περ κέλευεν εἴπερ ἐκπτῆναι θέλει.
ἤκουσε δ' ὥσπερ οὐκ ἔγνω καθημένον,
οὕτω δὲ μὴ πταίσαντος αἴσθησιν λάβῃ. — πταίω. est impingere vel // tangere.

Ἐπιμύθιον. πρὸς τοὺς λογιζομένους ἑαυτοὺς εἶναι ἢ σοφοὺς, ἢ δυνατοὺς, ἢ φρονίμους, μὴ ὄντας δέ.

Περὶ ἐλάφου, καὶ ἀμπέλου. simile plana. 77.

Ἔλαφον ἐξήλαυνον οἱ κυνηγέται,
ἥτις δασείαις ἀμπέλοις ἀπεκρύβη.
τὰ φύλλα βιβρώσκουσα δ' ἤ τῆς ἀμπέλου,
κυνηγέταισιν ἐνδίκως ἐθηράθη.

Ἐπιμύθιον. πρὸς τοὺς κακοποιοῦντας τοὺς αὐτῶν εὐεργέτας.

Περὶ ὄφεως, καὶ γεωργοῦ. simile plana 109

Ὄφιν θέλων τις ἀντ' ὀλέθρου παιδίου,
πλήττειν, πέτραν τ' ἔσχιζε, καὶ φιλεῖν θέλων.
ὄφις δέ φησι, πῶς γένοιντο συμβάσεις,
ἕως σὺ τύμβον, τὸν δ' ἐγὼ πέτρον βλέπω;

Ἐπιμύθιον. ὅτι αἱ μεγάλαι ἔχθραι, ἀδιάλλακτοί εἰσιν.

Περὶ παιδὸς, καὶ σκορπίου.

Ὡς ἀκρίδας θήρευε παῖς τις σκορπίῳ,
προὔτεινε χεῖρας. ὃς δὲ μὴ ψαύσῃς, ἔφη.
ὡς εἴγε μου ψαύσειας, ἐκ κόλπων σέων,
καὶ τὰς ἀληθεῖς ἐκκενώσεις ἀκρίδας.

Ἐπιμύθιον. ὅτι δεῖ κακοῖς ἀνθρώποις μὴ συμμίγνυσθαι.

Περὶ συὸς, καὶ μυός.

Σῦς εἷλκέ τις ναῦ ἔργον ὄντ' ἀσιτίας, : ἀσιτία. jejunium. inedia.
μῦς χαλκίδος βλέποντας, ἔστησαν γέλων. forte γέλωντες

tu legito. μῦς εἷλκέ τις σῦν.

Universidad de Deusto
Biblioteca



ὁ μῦς δ' ἔτι ζῶν, εἶπε μεστὸς δακρύων,
ὡς οὐδὲ σοῦ δύναμαι θέ κἂν τρέφειν σῖα.

Ἐπιμύθιον. πρὸς τοὺς τὰ ἑαυτῶν παραπτώματα παραβλέποντας, τὰ δὲ τῶν ἑτέρων γελῶντας.

Περὶ ὄνου, καὶ λεοντῆς.

Φέρων λέοντος δέρμα τοῖς ὤμοις ὄνος,
ηὔχει λέων εἶναί τις, αἱ πόλεσιν βλέπων.
ἐπεὶ δὲ γυμνὸς τοῦ λεοντῆς εὑρέθη,
τοῦτον μύλωθρον ἔμνησε τῆς ἀταξίας.

: El molyno q̄ rodeava el // asno como vn // anoua aviso // al asno q̄ no era // leon syno asno // de atahona :

Ἐπιμύθιον. ὁ μῦθος δηλοῖ, ὅτι αἱ παρ' ἀξίαν τιμαὶ, τάχιστα λύονται.

Περὶ τράγου, καὶ ἀμπέλου.

Τράγῳ προσεῖπεν ἄμπελος, βλάπτεις σύ με
κείρων τὰ φύλλα. μὴ γὰρ οὐκ ἔστι χλόη;
ὅσον γὰρ ἂν βλάψειας, εὑρήσω τάχα.
πρὸς θυσίαν σοῦ, εἰς θεοὺς οἶνον βλύσαι.

ꝑ σὴν. tuam — Scaturire.

Ἐπιμύθιον. ὅτι πολλάκις θέλων τις ἀδικεῖν τινα, ὠφελεῖ αὐτόν.

Περὶ ἀνδρὸς, καὶ γαλῆς γυναικός.

Ἀνὴρ γαλῆν γυναῖκα πρὸς δόμους ἄγει.
τὴν δὲ κύπρις εἰς ἑορτὴν τοῦ γάμου.
νύμφη δὲ μῦν βλέψασα, συντόνῳ τάχει
δίωκε τοῦτον, μὴ τραπεῖσα τῆς φύσεως.

Ἐπιμύθιον. ὅτι τὸ ἐκ φύσεως ὂν, οὐ μεταστρέπεται.

Περὶ δορκάδος τὴν τῶν ποδῶν λεπτότητα μεμφομένης.

: δορκάς. caprea / ut pla. 113.

Πηγαῖς ὁρῶσα δορκὰς αὐτῆς τὴν θέαν,
λεπτοὺς πόδας ἐμέμφετο, χαῖρε δ' εἰς κέρα.
λέων δ' ἐπεὶ δίωκε, τούτους ἠγάπα,

κέρα



κέρα καθυβρίζουσα, θήρας ὡς πάγην.

Ἐπιμύθιον. ὅτι πολλάκις τις ὠφελεῖται, ἐξ ὧν δοκεῖ βλάπτεσθαι.

Περὶ ἀλώπεκος, καὶ σταφυλῆς.

Κερδὼ βότρυν βλέπουσα μακρᾶς ἀμπέλου,
πρὸς ὕψος ἦρτο. καὶ καμοῦσα πολλάκις
ἑλεῖν ἀπεῖπε. πρὸς δ' ἑαυτὴν ταῦτ' ἔφη,
μὴ κάμνε, ῥᾶγες ὀμφακίζουσιν μάλα.

: ῥᾶγες. acini // los granillos de // la huvas // son // azedos.

Ἐπιμύθιον. πρὸς τοὺς τοιούτους τὴν ἀνάγκην φιλοτιμίαν.

Περὶ κόρακος, καὶ ἀλώπεκος.

Τυρὸν κόραξ ἔδακνε, κερδὼ δ' ἠπάτα.
εἰ γλῶσσαν εἶχες, ζηλωτὸς εἶς ὄρνις μέγας.
εὐθὺς δ' ὁ τοῦτον ῥίψεν, ἡ δ' αὐτὸν φάγεν.
ἔχεις κόραξ ἅπαντα, νοῦ κτῆσαι μόνον.

Ἐπιμύθιον. πρὸς τοὺς ἥδει κολακείαις χαίροντας.

Περὶ βατράχων, καὶ ἡλίου.

Γάμοις ἔχαιρον βάτραχοι τοῦ ἡλίου.
καί τις πρὸς αὐτοὺς εἶπεν, ὦ δειλὸν γένος.
εἰ γὰρ μόνας φέρομεν αὐγὰς ἡλίου,
τίς εἴγε τεκνώσειε τοῦτον βαστάσει;

Ἐπιμύθιον. πρὸς τοὺς ἥδει ἰδίᾳ βλάβῃ ἐξ ἀγνωσίας χαίροντας.

Περὶ ὄρνιθος ὠὸν χρυσοῦν τικτούσης, καὶ φιλαργύρου.

Ἔτικτε χρυσοῦν ὠὸν ὄρνις εἰσάπαξ.
καί τις πλανηθεὶς χρυσεραστὴς τὴν φρένα,
ἔκτεινε ταύτην, χρυσὸν ὡς λαβεῖν θέλων.
ἐλπὶς δὲ μεῖζον δῶρον ὤλεσε τύχης.

ὄρνις. gallina. / ut plana. 107.

Ἐπιμύθιον. πρὸς τοὺς ἐλπίδι κέρδους εἰς ζημίαν ἐκ μικροψυχίας ἐμπίπτοντας.

Περὶ ἀστροσκόπου, καὶ ὁδοιπόρου.

Ἄστροις προσκοπῶν τις ἀστροσκόπος,
ἔπιπτε λεληθὼς πρὸς φρέαρ. τυχὼν δέ τις,
ὁδοιπόρος, στένοντι ταῦτ' ἔφη λέγων,
νοῦν θεὶς ἄνω, βέλτιστε τὴν γῆν οὐ βλέπεις.

Ἐπιμύθιον. ὅτι πολλοὶ τὰ ἐνεστῶτα μὴ γινώσκοντες, τὰ μέλλοντα καυχῶνται γινώσκειν.

Περὶ ἵππου, καὶ κάπρου.

Ἤριζεν ἵππος ἀγριωτάτῳ κάπρῳ.
ὁρμὴν δὲ θηρὸς ἵππος οὐ φθάνων ὅλως,
ἑαυτὸν ἐκδέδωκεν, εὑρὼν σύμμαχον
ἔμπειρον ἄνδρα πρὸς σφαγὴν τοῦ θηρείου.

Ἐπιμύθιον. ὅτι δι' ἔχθραν τινῶν, καὶ εἰς δουλείαν ἑαυτοὺς ἐμβάλλουσιν.

: entre cano y · negro el cabello ·

Περὶ ἀνδρὸς μιξοθρίκος, καὶ δυοῖν ἑταίραιν.

Ἐρωμένας δύ', εἶχεν ἀνὴρ μιξόθριξ.
χρόνῳ δ' ἐνωοχεῖσαι πάντῃ καὶ τρόπῳ,
ἡ μὲν μελαίνας, ἡ δὲ λευκὰς ἐκφέρον.
ἐξ ὧν ψιλωθεὶς, πᾶσιν ὁράθη γέλως.

p. ἀχόθο · φέρω · q / eb anomato · vide // plana · 139 · linea // · 6 ·

Ἐπιμύθιον. πρὸς τοὺς εἰς δύο ἐναντία πράγματα ἑαυτοὺς ἐμβάλλοντας.

Περὶ ἀετοῦ τε, καὶ κολοιοῦ.

Ἀρνὸν καταπτὰς ἀετὸς καθαρπάσας,
ἰδὼν κολοιός, ἐν κριῷ πράττει τάδε.
ὃν εἷλε χειμὼν, παῖς δ' ἐφώνει τοῦτό τι
ἐμοὶ κολοιός, ἀετὸς δ' αὐτῷ πέλει.

Ἐπιμύθιον. ὅτι οὐ δεῖ μιμεῖσθαι τοὺς κρείττονας.

Περὶ κολοιοῦ τε, καὶ ἄλλων ὀρνέων.



Ἀλλοτρίοις πτεροῖσιν ἠμφιεσμένος
ηὔχει κολοιὸς ὀρνέων ὑπερφέρειν.
πτερὸν δὲ δῶρον ἡ χελιδὼν ἥρπακει.
μεθ' ἣν ἅπαντες, εἶτα γυμνὸς εὑρέθη.

Ἐπιμύθιον. ὅτι ὁ ἐξ ὀθνείου κάλλος διαλύεται.

p ex emendi // cata pulchri // tudine :~

Περὶ ἀετοῦ τε, καὶ ὀϊστοῦ.

Βέλει πτερωτῷ ἀετὸς τρώθη πάλαι.
ἀλγῶν δὲ λοιπὸν ἦσο πολλὰ δακρύων.
βλέπων δ' ὀϊστὸν εἶπεν ἐπτερωμένον·
βαβαί, πτερόν με τοῦ πτερωτοῦ ὀλλύει. simile plana · 106 ·

Ἐπιμύθιον. πρὸς τοὺς ἐκ τῶν ἰδίων κακῶς πάσχοντας.

Περὶ θηρῶν, καὶ ὀρνέων μάχης, καὶ στρουθοῦ.

Πᾶσι πεφύκει θηρσὶ, καὶ πτηνοῖς μάχη,
ἡλωλίζουσα στρουθὸς, ἡ τοὺς δ' ἐπλαία, — p. la catibazon · la // aguizon · vide lexi // con · in · ἀλισκομ
ἦν μὲν ὄρνις, ἐκ μέρους δὲ θηρεῖον.
πτηνοῖς κάραν δείκνυσα, τοῖς θηρσὶ πόδας.

Ἐπιμύθιον. πρὸς τοὺς δυσὶ κυρίοις δουλεύοντας, καὶ πλανῶντας ἀμφοτέρους.

Περὶ χελιδόνος, καὶ κριτηρίου.

Πῆξε χελιδὼν, νοσσιὰν κριτηρίου.
ὕπερθεν, ὥσπερ τὴν γονὴν βλάπτει δράκων.
ἡ δ' αὖτ' ἔφησεν, ὦ πολυστόνου τύχης.
ὅπου γὰρ ἐκδίκησις ἐβλάβην μόνη.

Ἐπιμύθιον. πρὸς τοὺς παθόντας κακὸν, ἀπὸ καλῶν ἀνθρώπων.

Περὶ τριῶν βοῶν ὁμοφώνων, εἶτα ἀσυμφώνων, καὶ λέοντος.

Ὁμόφρονες νέμοντο τρεῖς ὁμοῦ βόες,
οὓς οὐδὲ θὴρ ἔβλαπτε πολλάκις λέων,



Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca



ἔχθρας δὲ μίσει, καὶ μάχης διασχίσας,
ἕκαστον ἐκβέβρωκε γυμνὸν ὡς εἶα.

Ἐπιμύθιον. πρὸς τοὺς χωριζομένους ἐκ τῶν ἰδίων, καὶ διὰ τοῦτο κακῶς πάσχοντας.

Περὶ γεωργοῦ καὶ γεράνου.

Ἔθνος γεραίων πῆξέ τις σποροῦς πάγην,
μεθ' ὧν πελαργὸν εἷλεν, ὃς θρηνεῖ μέγα,
ἔφη δ' ἀροβούς, ὡς φίλος μὲν εἶ σύ μοι.
ἀλλ' ἡ πάγη λαβοῦσα, σὺν κακοῖς ἔχει.

Ἐπιμύθιον. πρὸς φίλον τινὸς ἐν εὑρεθὲν τοῖς ἐχθροῖς τοῦ φίλου αὐτοῦ.

Περὶ κυνὸς καὶ εἰδώλου αὐτοῦ ἐν τῷ ὕδατι.

Φέρων ποταμοῦ πλησίον κύων κρέας,
κύψας ἑαυτοῦ, δ' ἄλλον εἰς ὕδωρ βλέπει.
χανὼν δὲ λοιπὸν τοῦ κάτω λαβεῖν κρέας,
ἀπεστερεῖτο καὶ τοῦ, οὗ περ ἐκράτει.

Ἐπιμύθιον. ὅτι ὁ πλεονεκτῶν μᾶλλον ζημιοῦται.

Περὶ ὄνου καὶ ἁλὸς, καὶ σπόγγων.

Περῶν ποταμὸν, φόρτον ἦγ' ἁλὸς ὄνος,
ἐν ᾧ τε καὶ πέπτωκε κουφισθεὶς βάρος,
σπόγγων δ' ἔπειτα πλῆθος οὕτως ὡς φέρων,
πεσὼν ἑκοντὶ, δυστυχῶς ἀπεπνίγη.

Ἐπιμύθιον. ὅτι πολλάκις προσδοκία κερδῶν, εἰς ζημίαν καταντᾷ.

Περὶ καμήλου, καὶ διός.

Κυρτὴ θεὸν κάμηλος ἐζήτει κέρα.
τὴν ἐξεμυκτήρει διὰ τῆς ἀβουλίας.
ζημοῖ γοῦν αὐτὴν λοιπὸν, ὦτα, καὶ κάραν,
ὡς ἂν γε παντάπασιν αἰσχίστη πέλῃ.

Ἐπιμύ-



Ἐπιμύθιον. ὅτι δεῖ παρὰ τοῦ θεοῦ αἰτεῖν τὰ προσήκοντα.

Περὶ λύκου, καὶ ἀρνός.

Λύκος πρὸς ἄρνα φησὶν, οὐ πρόσθεν σύ μοι
ὕδωρ ταράττεις; ἄρτι γαστρὸς ἐξέφυν.
καὶ πῶς ὕδωρ ταράττον ἀγνοῶ, ποτέ.
θοίνη γενῇ μοι κἂν θέμις, κἂν μὴ θέμις.

Ἐπιμύθιον. πρὸς τοὺς ἀδεῶς, φανερῶς ἀδικοῦντας.

Περὶ δειλοῦ κυνηγοῦ, καὶ ποιμένος.

Δειλὸς κυνηγὸς πρός τιν' εἶπε ποιμένα·
εἴπου λέοντος ἴχνος εἶδες, μοὶ φράσον.
σὺ τοίνυν εἶπεν ἐθέλεις δείξω, πέλας
ἴχνος. κυνηγὸς εἶπεν, οὐ ζητῶ πλέον.

Ἐπιμύθιον. πρὸς ἀνθρώπους θρασεῖς πρὸς λόγους, καὶ πρὸς ἔργα δειλούς.

Περὶ ἱππότου, καὶ ἀγροίκου.

Ἤτει λαβεῖν ἀγροῖκον λαγὼν ἱππότης.
λαβὼν δὲ χερσὶ τοῦτον, ἠρώτα πόσου;
καὶ πῶλον ἐξήλαυνεν. ἀγροῖκος δ' ἔφη·
μὴ σπεῦδε, σοὶ δώρημα τοῦτο προσφέρω.

Ἐπιμύθιον. πρὸς τοὺς ἐξ ἀνάγκης παραιτουμένους τὰ ἴδια.

Περὶ λύκου, καὶ ὄνου.

Ὀδοῦσιν ἧλον εἷλεν ἐξ ὄνου λύκος.
αἰτῶν δὲ μισθὸν πλήττεται λὰξ τὴν γένυν.
λύκος δέ φησι, πῶς μάγειρος ὢν πάλαι,
ἰατρικῆς μετῆλθον ἔργ' ἀναξίως;

Ἐπιμύθιον. πρὸς τοὺς τὴν ἰδίαν τέχνην καταλιμπάνοντας, καὶ ἑτέραν μετερχομένους ἐπὶ βλάβῃ.

Περὶ λύκου, καὶ γεράνου.

Εἰς λαιμὸν ὅτου ἐμπεπήγῃ τοῦ λύκου.
μισθὸν δ' ἑλὼν γέρανος, ᾔτει τῆς χάριν,
σῶον τράχηλον ἐκ λύκου λαιμοῦ φέρων,
μηδ' ἄλλο μηδὲν μισθὸν ἢ τοῦτο σκόπει.

Ἐπιμύθιον. πρὸς τοὺς ἀκινδύνως πρᾶξιν ἐγχειρήσαντας, καὶ μετὰ τὸ σώθημα ζητοῦντας μισθούς.

Περὶ ταύρου, καὶ τράγου.

Ἤλαυνε ταῦρον ἐξ ἑῆς κοίτης τράγος,
ὃν θὴρ λέων δίωκεν, εἶπε δὲ στένων,
εἴπερ με μὴ λέοντος ἐπτόει φόβος,
ἔγνως ὅσον ταύρου τε καὶ τράγου σθένος.

Ἐπιμύθιον. πρὸς τοὺς καταδεχομένους ὑβρίζεσθαι ἀπὸ μικρῶν, διὰ φόβον ἑτέρων μειζόνων.

Περὶ μύρμηκος, καὶ τέττιγος.

Ἤτει τροφὴν μύρμηκα τέττιξ ἐν κρύει.
μύρμηξ δ' ἔφη, τί θέρους ὄντος ἔδρας;
ὡς ἐν θέρει εἴρηκεν ᾖδον ὀξέως.
χειμῶνος ὀρχοῦ φησι, μὴ ζοφῆς ἔργα.

Ἐπιμύθιον. πρὸς τοὺς μὴ θέλοντας ἐν νεότητι κοπιᾶν, καὶ διὰ τοῦτο ἐν τῷ γήρᾳ πτωχοῦντας.

Περὶ ὄφεως, καὶ γεωργοῦ.

Ἔθαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν,
ὥρᾳ κρύους. ἐπεὶ δὲ θέρμης ᾔσθετο,
ἔπληξε τὸν θάλψαντα, κἀπέκτεινε τάχος.
οὕτω κακοὶ ποιοῦσι τοὺς εὐεργέτας.

Περὶ χελιδόνος, καὶ ἀηδόνος.

Ἀγροῦ χελιδὼν μακρὰν ἐξεπτήσθη,
εὗρε δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον. ἡ δ' ἀπεθρήνει

τὸν Ἴτυν,



τὸν Ἴτυν, ἄωρον ἐκπεσόντα τῆς ὥρης.
χ' ἡ μὲν χελιδὼν φησι φιλτάτη ζώοις,
πρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην.
ἀλλ' ἐλθὲ εἰς ἀγρόν, καὶ πρὸς οἶκον ἀνθρώπων.
σύσκηνος ἡμῖν, καὶ φίλη κατοικήσεις,
ὅπου γεωργοῖς, οὐχὶ θηρίοις ᾄσεις.
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείβετο·
ἔα με πέτραις ἐμμένειν ἀοικήτοις.
οἶκος δέ μοι πᾶς, ἥ τε μίξις ἀνθρώπων.
μνήμην παλαιῶν συμφορῶν ἀναφλέξει.

Ἐπιμύθιον. ὁ μῦθος δηλοῖ, ὅτι κρεῖττον ἐν ἐρήμοις ζῆν ἀλύπως, ἢ συνοικεῖν ἐν πόλεσι τοῖς κακοῖς.

# ΟΝΟΜΑΤΑ ΑΝΔΡΩΝ
## ΕΠΙΣΗΜΩΝ, ΩΝ ΕΙΝΑΙ ΛΕΓΟΝ-
τοι αἱ ἑπόμεναι ἐφεξῆς γνῶμαι. ꝑ ordinez alfabeti.:

Α

Αἰσχίνης
Αἰσχύλος
Αἴσωπος
Ἀλέξανδρος
Ἄμασις
Ἄμφις
Ἀναξαγόρας
Ἀνάχαρσις
Ἀναξαμένιος
Ἀνταγόρας
Ἀντίγονος
Ἀντισθένης
Ἀντιφάνης
Ἀπελλῆς
Ἀπολλώνιος
Ἀρίσταρχος
Ἀριστείδης
Ἀρίστιππος
Ἀριστοτέλης
Ἀριστώνυμος
Ἀρκεσίλαος.

Β

Βαβύλας
Βαρνάβας
Βασίλειος
Βενέδικτος
Βεσελεήλ

Βίας

Universidad de Deusto Biblioteca



Βίας
Βλάσιος

Γ
Γάϊος
Γελάσιος
Γεννάδιος
Γερβάσιος
Γερμανός
Γερόντιος
Γρηγόριος

Δ
Δημάδης
Δημήτριος ὁ Φαληρεύς
Δημόκριτος
Δημοσθένης
Δημῶναξ
Διαγόρας
Δίδυμος
Διογένης
Διονύσιος ὁ πρεσβύτερος
Δίων

Ε
Ἐμπεδοκλῆς
Ἐπίκουρος
Ἐπίκτητος
Εὐκλείδης
Εὔκριτος
Εὔπολις
Εὐριπίδης
Εὐσέβιος

Θ
Θαλῆς
Θεανώ
Θεμιστοκλῆς
Θεόκριτος
Θεόπομπος
Θεοφύλακτος
Θεόφραστος
Θουκυδίδης

Ι
Ἰσοκράτης
Ἰωάννης ὁ κλίμαξ

Λ
Λύκων

Μ
Μενέδημος

Σ
Σολομῶν

Χ
Χρυσόστομος.

## ΑΙΣΧΙΝΟΥ.

Αἰσχίνης εἶπε, τὸ σοβαρὰ καθεύδειν τοῦ πρέποντος τοῖς τεθνηκόσι μᾶλλον, ἤπερ τοῖς ζῶσιν ἁρμόζει.

Αἰσχύ-



Αἰσχύλου.

Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

Αἰσώπου.

Αἴσωπος πρὸς τὸν τῷ κάλλει κακῶς κεχρημένον, εἶπεν, ὁποίῳ ἱματίῳ ἠμφιεσμένος κακῶς αὐτὸ ἀποδύου.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, δύο πήρας ἕκαστον ἡμῶν ἔχειν· τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτίθεσθαι τὰ τῶν ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ὀνειδιζόμενος ὅτι χαλεπὴν ἔχει τὴν ὄψιν, ἔφη· εἰ μὴ μου τὸ εἶδος, ἀλλ' εἰς τὸν νοῦν δεῖ προσέχειν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενος νεανίσκον καλλωπιζόμενον, ἔφη· εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενος μειράκιον εὔμορφον, καὶ διὰ τοῦτο φιλούμενον, ἔφη· ὦ μειράκιον σπούδασον τοῦ σώματος ὥρας ἐπὶ τὴν ψυχὴν μεταγαγεῖν.

Ἀλεξάνδρου.

Ἀλέξανδρος ὁ βασιλεὺς ἰδὼν Διογένην κοιμώμενον ἐν πίθῳ, ἔφη, πίθε μεστὲ φρενῶν. ὁ δὲ φιλόσοφος ἀναστὰς, ἔφη, ὦ βασιλεῦ μέγιστε· βέλτιον τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον. ἧς μὴ παρούσης, δυστυχοῦσιν αἱ φρένες.

hijo dichate de dios q saber poco te basta.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐπιστολὴν παρὰ τῆς μητρὸς ἀναγνώσκων, [illegible] τινας ἀπορρήτους κατ' Ἀντιπάτρου καὶ διαβολὰς ἔχου-

σαν,

Universidad de Deusto Biblioteca



σιν, ἅμα τοῦ ἡφαιστίωνος ὥσπερ εἰώθει συναναγινώσκειν οὐκ ἐκώλυσεν. ὡς δὲ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτοῦ, ἐν τῷ στόματι ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς, ὅς τις λόγιον παρακαταθήκης λαβὼν ἐξεῖπεν, ἄδικός ἐστιν, ἢ ἀκρατὴς ἄγαν· ὁ μὲν διὰ κέρδους ἄδικος, ὁ δὲ τούτου ἀκρατής. ἴσως δέ γε εἰσὶν ἀμφότεροι κακοί.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τίνα μᾶλλον ποθεῖ τὸν πατέρα, φίλιππον ἢ ἀριστοτέλην; τὸν διδάσκαλον, ἔφη. ὁ μὲν γὰρ τοῦ γενέσθαι, ὁ δὲ τοῦ καλῶς γενέσθαι αἴτιος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς βαρύ τι ἐπιταξάσης τῆς μητρὸς ὀλυμπιάδος, ἔφη, ἐν παντὶ τῷ βίῳ τρεῖς μοι μεταμελείας εἶναι· μίαν μὲν, ἐπὶ τῇ γυναικὶ πιστεῦσαι λόγον ἀπόρρητον· ἑτέραν δὲ, πλεύσας, ὅπου δυνατὸν πεζεῦσαι· τὴν δὲ τρίτην, ὅτι μίαν ἡμέραν ἀδιάθετος ἔμεινεν. :Intestatus.

Τοῦ αὐτοῦ.

Ὁ αὐτός τινα τῶν ἰνδῶν τῶν ἄριστα δοκούντων καὶ λεγομένων διὰ δακτυλίου τὸν ἰὸν ἀφιέναι, ἐκέλευσεν ἐπιδείξασθαι. καὶ μὴ βουλόμενον, ὀργισθεὶς ἀνελεῖν προσέταξεν. ἐπεὶ δὲ ἀπαγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολὺς χρόνος ἐστὶν ἀφ' οὗ ἐπὶ χεῖρας τὸ τόξον οὐ κατέλαβον, καὶ τὸ ἀποτυχεῖν ἐφοβήθην. ταῦτα ἀκούσας ἀλέξανδρος, ἐθαύμασε, καὶ ἀπέλαβε μετὰ δώρων αὐτὸν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν, ἢ τῆς δόξης ἀνάξιον φανῆναι.





Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἀκούσας, ὅτι δαρεῖος τριάκοντα μυριάδας εἰς παράταξιν ἄγει, ἔφη· εἷς μάγειρος πολλῶν προβάτων οὐ πτοεῖται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς κατασκόπου λέγοντος αὐτῷ πλείους εἶναι τοὺς δαρείου, εἶπε· καὶ τὰ πρόβατα πλείονα ὄντα, ὑφ' ἑνὸς ἢ δευτέρου λύκου χειροῦται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδών τινα τῶν γερόντων βαπτόμενον τὰς τρίχας, εἶπε· μὴ τὰς τρίχας βάπτε, ἀλλὰ τὰ γόνατα. ſ βάπτω. tingo. // coloro. lavo.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς νοσήσας μακρὰν νόσον, ὡς ἀνέρρωσεν, ἔφη· οὐδὲν ἐμοὶ γέγονε χεῖρον. ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν θνητοὺς ὄντας.

Ἀμάσιδος.

Ἄμασις ὁ τῶν αἰγυπτίων βασιλεὺς, φίλῳ ἀποβαλόντι υἱὸν, γράφων παραμυθητικῶς εἶπεν· ὅτι οὐδέποτε ἦν, οὐκ ἐλυποῦ, μηδὲ νῦν ὅτε μηκέτι ἔσται λυπηθῇς. ſ forte legendum // est. // ὅτε.

Ἄμφιδος.

Ἄμφις ἔφη, ὅστις ὀμνύειν μηδὲν πείθεται αὐτοῦ ἐπιορχεῖν ῥᾳδίως ἐπίσταται. κεῖν/

Ἀναξαγόρα.

Ἀναξαγόρας εἶπε δύο διδασκάλους εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

Ἀναχάρσιδος.

Ἀνάχαρσις κιρναμένου κρατῆρος ἐφεστίου, τὸν μὲν πρῶτον εἶπεν ὑγιείας περὶ πίνεσθαι, τὸν δὲ δεύτερον περὶ ἡδονῆς, τὸν δὲ τρίτον ὕβρεως, τὸν δὲ τέταρτον μανίας.

Universidad de Deusto Biblioteca



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς τὸν φθόνον ἔφασκεν ἕλκος εἶναι τῆς ἀληθείας. καὶ γὰρ ἡ τῶν ἀγαθῶν ἕξις ὠφελεῖ τὸν ζηλοῦντα, μὴ βλάπτουσα τοὺς ζηλουμένους. ὥσπερ οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίαν ἐξουσίαν, εἰ μὴ ἕτερος ἑτέρους ἐλυμαίνετο. φθόνος γάρ, στάσεως ἀρχὴν ἀπεργάζεται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἀγαθὸν εἶπεν, εἰ οὐκ ἦν ἀνθρώποισιν ἐν βίῳ φθόνος, πάντων ἂν ἡμῶν ἀξία πεφυκότων.

Τοῦ αὐτοῦ.

Ὁ αὐτός ποτε ἀστραγαλίζων, καὶ ἐπιθυμηθεὶς ὅτι παίζοι, ἔφη· καθάπερ τὰ τόξα διὰ παντὸς ἐντεταμένα ῥήγνυται, ἐὰν δ' ἀνεθῇ, εὔχρηστα γίνεται πρὸς τὰς χρείας, οὕτω καὶ ὁ λογισμὸς ἀεὶ ἐν τῷ αὐτῷ μένων.

Ἀνεξαμηνίου.

Ἀνεξαμήνιος εἶπεν, ὅσοι τὰ καλῶς ῥηθέντα ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἐν τοῖς ἔργοις ὠφελήσουσιν;

Ἀνταγόρα.

Ἀνταγόρας ἔφασκεν, ὅταν ἐπαινῶσι με πολλοί, τότε νομίζω μηδενὸς ἄξιος εἶναι· ὅταν δὲ ὀλίγοι, σπουδαῖον ἄνθρωπον.

Ἀντιγόνου.

Ἀντίγονος κύνα πάγκαλον ἔχων, ἑπτάκις χιλίων δραχμῶν ἀπέκοψεν αὐτοῦ τὴν οὐράν, ὅπως ἔφη τοῦτο λέγωσιν ἀθηναῖοι περὶ ἐμοῦ, καὶ μηδὲν ἄλλο πολυπραγμονῶσιν.

Ἀντι-



Ἀντισθένους.

Ἀντισθένης τοῖς μέλλουσι σώζεσθαι ἔφη, φίλων δεῖ γνησίων, ἢ διαπύρων ἐχθρῶν. οἱ μὲν γὰρ νουθετοῦντες τοὺς ἁμαρτάνοντας, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθείς, τί δή ποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν, ἀλλ' ἀνάπαλιν. ἔφασκεν, ὅτι οἱ σοφοὶ μὲν ἴσασιν ὧν ἐστὶν αὐτοῖς χρεία πρὸς τὸν βίον, οἱ δὲ οὐκ ἴσασιν· ἐπεὶ μᾶλλον σοφίας ἢ χρημάτων ἐπεμελοῦντο.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθείς, τί ἐστιν ἑορτή; ἔφη, γαστριμαργίας ἀφορμή. ʒ : quod dies festi // Sint ἀργεῖν

Ἀντιφάνους.

Ἀντιφάνης εἶπε, τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, τὰς δὲ λύπας μακράς.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκεν, εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.

Ἀπελλοῦ.

Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθεὶς διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, εἶπεν· οὐκ ἔστηκε, δὴ ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης.

Ἀπολλωνίου.

Ἀπολλώνιος τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον, μηδὲ θεραπευόμενον, φυσικὴ νόσος γίνεται, ἔφη.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ὁ περὶ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος, ἔφη· οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον καὶ πότε μεῖζον ἠδίκησε.

i Τοῦ

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς πολλὴν ἐπιμέλειαν, ἔφη, ποιεῖσθε περὶ τοῦ μὴ λέγειν ἃ μὴ δεῖ. παντελῶς γὰρ ἀπαιδεύτου τινός ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν, ἀλλ' ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· πολλοὶ πολλὰ σφάλματα ἔχουσι, τὸ δὲ σιγᾶν ἀσφαλές.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκεν, οὐ φθονητέον. ἀγαθοὶ μὲν γὰρ ἄξιοι, κακοὶ δὲ ἂν ἀτυχῶσι, κακῶς ζῶσιν.

Ἀριστάρχου.

Ἀρίσταρχος καλούμενος ἐπὶ δεῖπνον οὐ πρότερον ὡμολόγησεν, ἢ πείθεσθαι τῶν κεκλημένων ἕκαστον. ἔφη γὰρ, ὅτι σύμπλοον ἀγνώμονα δεῖ φέρειν καὶ σύσκηνον, οἷς πλεῖν ἀνάγκη καὶ στρατεύεσθαι· πρὸς δὲ τὸ συμπόταις ἑαυτὸν ὡς ἔτυχε καταμιγνύειν, οὐ νοῦν ἔχοντος ἀνδρός ἐστιν.

Ἀριστείδου.

Ἀριστείδης εἶπε, πάντας, ὡς ἔπος εἰπεῖν, τοὺς μὲν ὑπηρετοῦντας αὐτῶν ταῖς ἐπιθυμίαις ἀποδέχονται, καὶ νομίζουσιν οὐ μόνον εὔνους, ἀλλὰ καὶ μόνους ἄνδρας ὡς ἀληθῶς εἶναι· τοῖς δὲ σωφρονεῖν ἐπιχειροῦσιν, ἀηδῶς ἔχουσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς, ὥσπερ ἅρμα ἀναβαίνειν ἔφη, θαρσήσειεν ἄν τις τὸ κρημνὸν ὁρῶν, εἰδὼς ὡς οὐχ οἷός τε ἐστὶ μένειν ἔποχος, οὕτε πράγματι τοιούτῳ ἐπιβαίνειν. ὧν ἐκπεσὼν, εὐθὺς κείσεται. ὁ γὰρ μείζονα, ἢ κατὰ ἑαυτὸν ὄγκον αἰρούμενος

μενος



μενος, κἂν πρᾶγμα ἐνέγκῃ, ῥᾳδίως μετὰ μικρὸν ἀπώλετο συντριβείς.

Ἀριστείδου τοῦ δικαίου.

Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς, πότε ἐστὶ τὸν ἄνθρωπον καλὸν ζῆν· ἔφη, ἕως ἂν ὑπολάβῃ τεθνάναι, τοῦ ζῆν κρεῖττον εἶναι.

Ἀριστίππου.

Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος παρεκελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς ἐν ναυαγήσασι συγκολυμβήσει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενος τινὰ ὀργιζόμενον, καὶ διὰ τῶν λόγων χαλεπαίνοντα, ἔφη· μὴ συνθήκας λόγων ὀργῆς ἄρχομεν, ἀλλὰ τὴν διὰ τῶν λόγων καταπαύωμεν.

Τοῦ αὐτοῦ.

Ἀρίστιππος λέγοντος αὐτῷ τινος, διὰ σὲ ἀπόλωλεν ὁ ἀγρός· οὐκοῦν, ἔφη, κάλλιον δι' ἐμὲ τὸν ἀγρὸν, ἢ διὰ τὸν ἀγρὸν ἐμέ.

Ἀριστοτέλους.

Ἀριστοτέλης ἔφη, ὥσπερ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ προσβλέπειν τὸ κείμενον ἐν ποσὶν, οὕτως ὁ θυμὸς ἐπερχόμενος τῷ λογισμῷ ἐπισκοπεῖ, καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἀφίησι τῇ διανοίᾳ προβλέπειν.

= ἐπισκοτεῖ. // legito.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν, ὁ μὴ εἰδὼς σιωπᾶν, οὐκ οἶδε διαλέγεσθαι. ἀλλ' ἐρωτηθεὶς, καὶ ὑπό τινος τί δυσκολώτατον ἐστὶν ἐν βίῳ; εἶπεν, τὸ σιωπᾶν ἃ μὴ δεῖ λέγειν.

Universidad de Deusto Biblioteca



Τοῦ αὐτοῦ.

:.q reb manifestas. Ὁ αὐτὸς τοὺς ἐναργῆ πράγματα πειρωμένους δεικνύναι, ὁμοίους ἔφη εἶναι τοῖς διὰ λύχνου τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς, χρὴ φησὶ τὸν υἱὸν δοῦλον εἶναι τοῦ πατρὸς, ἢ τὸν οἰκέτην. ὁ μὲν γὰρ φύσει τοῦ πατρὸς δοῦλός ἐστιν, ὁ δὲ νόμῳ.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενος νεανίσκον κάτω φρυώμενον μηδὲν ἐπιστάμενον· νεανίσκε ἔφη, οἷος μὲν δοκεῖς αὐτὸς εἶναι, ἐγὼ γενοίμην· οἷος δὲ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μοι οἱ ἐχθροὶ γένοιντο.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς κατανοήσας μειράκιον ἐπὶ πολυτελείᾳ τῆς χλαμύδος σεμνυνόμενον, οὐ παύσῃ μειράκιον, ἔφη, σεμνυνόμενον ἐπὶ προβάτου ἀρετῇ.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν, ἀξίωμα μέγιστον ἐστὶν, οὐ τὸ τιμαῖς κεχρῆσθαι, ἀλλὰ τὸ ἄξιον ἑαυτὸν εἶναι νομίζεσθαι.

Τοῦ αὐτοῦ.

Ἀριστοτέλης, ὥσπερ φασὶν, ἔφη ἐν ἰατρικῇ τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁπόσῳ ἂν θέλῃς θρέψειν μᾶλλον βλάψεις, ὕλην βάλλων κακοχυμείας. οὕτω καὶ ψυχὴν, μοχθηροῖς δόγμασι προκατειλημμένην, ὅπως ἂν διδάξῃς, μᾶλλον βλάψεις, μείζονας ἀρχὰς αὐτῇ τῆς ψευδοδοξίας παρέχων.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν, ὁ φθόνος ἀνταγωνιστής ἐστι τῶν εὐ-

τυχού-



τυχούντων. καὶ ὁ μὲν ζῆλος ἐπιεικές ἐστι καὶ ἐπιεικῶν· τὸ δὲ φθονεῖν φαῦλον καὶ φαύλων. ὁ μὲν γὰρ αὐτὸν παρασκευάζει διὰ τὸν ζῆλον τῶν ἀγαθῶν τυγχάνειν, ὁ δὲ τὸν πλησίον μὴ ἔχειν διὰ τὸν φθόνον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· τὰ πόρρω σφόδρα, οὐ φοβοῦνται. ἴσασι γὰρ πάντες ὅτι ἀποθανοῦνται, ἀλλ' ὅτι οὐκ ἐγγὺς οὐδὲν φροντίζουσι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκεν, ἐκ τοῦ βίου κράτιστον ὑπεξελθεῖν ἐστὶν, ὡς ἐκ συμποσίου μήτε διψῶντα, μήτε μεθύοντα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, ὁ ἐν νόσῳ διαθήκας γράφων, παραπλήσια πάσχει τοῖς ἐν χειμῶσι θαλαττίοις εὐτρεπίζειν ἀρχομένοις τὰ τῆς νηὸς ὅπλα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς βλασφημούμενος ὑπ' ἀνθρώπου ἀσελγοῦς, ἔφη, σὺ μὲν ἀκούεις τὰ κακὰ ῥαδίως, καὶ λέγεις εὐχερῶς· ἐμοὶ δὲ καὶ λέγειν ἄηθες, καὶ ἀκούειν ἀηδές.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, τὸ μὴ αἰσχύνεσθαι κακὸν ὄντα, κακίας ὑπερβολή.

Ἀριστωνύμου.

Ἀριστώνυμος εἶπεν, ὥσπερ τὸ μέλι τὰ ἑλκούμενα δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν· οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν, ὁ φθόνος ὥσπερ φαῦλος δημαγωγὸς ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν.

Universidad de Deusto Biblioteca



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν, ἔοικεν ὁ βίος θεάτρῳ. διὸ πολλάκις χείρισοι τὸν κάλλιστον ἐν αὐτῷ κατέχουσι τόπον.

Ἀρκεσιλάου.

Ἀρκεσίλαος ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροί, ἐνταῦθα νόσοι πλεῖστοι, οὕτω καὶ ὅπου νόμοι πολλοί, ἐνταῦθα πλείστων κακῶν εἶναι εἰκός ἐστι, καὶ ἀδικίαν μεγίστην.

Βαβύλα.

Βαβύλας εἶπεν, ἥκιστα κακὰ οὐχ ὑφορᾶται τὸ κακίας ἐλεύθερον.

Βαρνάβα.

Βαρνάβας ὁ ἀπόστολος ἔφη, ἐν ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας. διότι ἀπέρχεται πλέον ἔχων τῆς ἁμαρτίας.

Βασιλείου.

Βασίλειος ὁ μέγας ἔφη, ἀρετῆς ἄσκησιν τίμιον μὲν κτῆμα τῷ ἔχοντι, ἥδιον δὲ θέαμα τῷ ἐντυγχάνοντι.

Τοῦ αὐτοῦ.

Βασίλειος ὁ μέγας εἶπε, πολλὰ τῶν καλῶν οὐ δοκεῖν εἶναι τοιαῦτα, τοῖς τὸ κριτήριον τῆς διανοίας οὐκ ἀκριβὲς κεκτημένοις.

Τοῦ αὐτοῦ.

Τῶν ἀγαθῶν ἔργων αἱ χάριτες, ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν.

Τοῦ αὐτοῦ.

αὐτὸς εἴρηκεν, ὅτι πολλάκις ἀκρασία δήμου τὸν χείριστον εἰς ἀρχὴν προεστήσατο.



[Handwritten margin notes:] =l damnatur // legum multi // plicitas · — l: forte. ἀπέρχεται // ·



Τοῦ αὐτοῦ.

Βίαιον γὰρ μάθημα οὐ πέφυκεν παραμένειν. τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδόμενον, μονιμώτερόν πως ταῖς ψυχαῖς ἐνιζάνει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεξε, τί ὀργῆς ἀφονέστερον; ἐὰν μείνῃς ἀόργητος, ἐξήμυνας τὸν ὑβρίζοντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγε, βέλτιον ἀκροωμένους σιωπᾶν, καὶ πιστεύειν, ἢ ἀπιστεῖν διὰ τὸ ἀκούειν.

Τοῦ αὐτοῦ.

Ὁ τῶν ἀλλοτρίων ἐρῶν, μετ' οὐ πολὺ θρηνήσει, τῶν ἰδίων ἀποστερούμενος.

Τοῦ αὐτοῦ.

Εὐγνώμονες παῖδες μεγάλα ποιοῦσι τὰ τῶν πατέρων ἐγκώμια.

Τοῦ αὐτοῦ.

Ὥσπερ τῆς τομῆς ἢ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς αἴτιος, ἀλλ' ἡ νόσος· οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοί, ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες τὸν θεὸν ἀπάσης μέμψεως ἀπολύουσι.

Τοῦ αὐτοῦ.

Ὥσπερ τὰς μελίττας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον, ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία. ἀλλὰ καὶ κακία σιωπηθεῖσα, νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ.

Τοῦ αὐτοῦ.



[Handwritten margin note:] = καυτῆρος // legito del cau // terio ·

Universidad de Deusto
Biblioteca



τῷ ὄντι θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερον πέφυκε γίνεσθαι.

Τοῦ αὐτοῦ.

Μή με νομίσῃς ὥσπερ μητέρα τινὰ τροφὸν ψευδῆ σοι μορμολύκια ἐπιδεῖξαι, ὥσπερ ἐκεῖναι ποιοῦσιν, ἐπὶ τὰ νήπια τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα, καὶ διὰ ἐπιπλάσεως τῶν διηγημάτων κατασιγάζουσι. ταῦτα γὰρ οὐ μῦθος, ἀλλὰ λόγος ἀψευδὴς προκεκηρυγμένος φωνῇ. καὶ ἴσθι ἀκριβῶς, ὅτι γνώσῃ τῶν βεβιωμένων ἐλέγχους ἀκριβεῖς.

Τοῦ αὐτοῦ.

ἐνίοτε τοῦτο συμβαίνει:·

Ἀνεπιστήμων ἰατρὸς πρὸς κάμνοντας εἰσιὼν, ἀντὶ τοῦ εἰς ὑγείαν αὐτοὺς ἐπαναγαγεῖν, καὶ τὸ μικρὸν λείψανον τῆς δυνάμεως ἀφαιρεῖται.

Τοῦ αὐτοῦ.

ἐρυσίβη. ης. ἡ //
rubigo. erugo. pro
prie in segetibus dici
tur. y consta la le //
tras se halla en el //
lexico. y no con las
del molde desta plana.
est a morbus segetum
vel herbarum. est a rubi
go. El anublo de los
panes. et erugo es //
el gorgojo. vel gur
gulio q come el //
trigo. et de eru
gine et tinea ha
bet. mathei cap. 6. //
et Jacobi epistola. cap. 4.

Ὥσπερ ἡ ἐρυσίβη ἴδιον ἐστὶ τοῦ σίτου νόσημα, οὕτως ὁ φθόνος φίλων ἐστὶν ἀῤῥώστημα.

Τοῦ αὐτοῦ.

Βασίλειος ὁ μέγας εἴρηκεν, ἐκ λογικοῦ τε καὶ ἀλόγου κατὰ τὸ ἑλληνικὸν πρὸς φυσιολόγου πλάσμα ὥσπερ τινα κένταυρον συνθεὶς ὁ δημιουργὸς, ὅλον τὸν ἄνθρωπον τῷ ἀνθρωπομόρφῳ ἀπὸ κεφαλῆς ἕως στέρνων ἄνωθεν μέρει. τὸ ἀπ' ὀμφαλοῦ καὶ ὀσφύος καθάπερ ἵππου φύσιν, πρός τε τὰς γαστρὸς ἡδονὰς κτηνῶδες ὑπάρχον, καὶ πρὸς τὰς μίξεις ἀλόγως κινούμενον κάτωθεν φέρων προσήρμοσεν· οὐχ ὑπὸ ἀλόγου μέρους τὸ λογικὸν ἐξαρπάζεσθαι βουληθεὶς, ἀλλὰ τὸ λογικὸν ὑποβεβλημένον ἔχοντι τὸ ἄλογον μέρος, ἐνισχύεσθαί τε πρὸς τὰς τῆς φύσεως ἀνάγκας πανσόφως.





Τοῦ αὐτοῦ.

Ἐὰν οἱ σώφρονες τοὺς φαύλους ἴδωσιν ἀτιμαζομένους, πολὺ προθυμότερον τῆς ἀρετῆς ἀνθέξονται.

Τοῦ αὐτοῦ.

Ἡ ἐπιπλεῖστον ἐνταῦθα διατριβὴ, πλειόνων κακῶν ἐστὶν ἀφορμή.

Τοῦ αὐτοῦ.

Ὅσον ἐστὶ τῆς εἰρήνης ἀγαθὸν, τί χρὴ λέγειν πρὸς ἄνδρας υἱοὺς τῆς εἰρήνης; οὐδὲν γὰρ οὕτως ἴδιον χριστιανοῖς, ὡς τὸ εἰρηνοποιεῖν. διότι καὶ τὸν ἐπ' αὐτῷ μισθὸν μέγιστον ἡμῖν ὁ κύριος ἐπηγγείλατο.

Τοῦ αὐτοῦ.

Ἐπαινῶ τὸν εἰπόντα, τὰς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια.

Τοῦ αὐτοῦ.

Αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς πλέον τῷ ὄντι τοῖς ἐν θριξὶ λευκότερος εἰς πρεσβυτέρου σύστασιν, ἢ ἐν φρονήσει πρεσβυτικός.

Βενεδίκτου.

Βενέδικτος ὁ ῥήτωρ εἶπεν· ἡ ἀντίλογος τὸ αὐτοκρατορικὸν καὶ ἀνυπότακτον δείκνυσι, καὶ ἐν σχήματι ταπεινώσεως γίνεται.

Βεσελεήλ.

Βεσελεὴλ ὁ τεχνικὸς ἔφη· διαφέρει τοῦ νηπίου καθ' ἡλικίαν οὐδὲν, ὁ ἐν ταῖς φρεσὶ νηπιάζων.

Βίαντος.

Βίας ὁ σοφὸς εἶπε· βραδέως ἐγχείρει τοῖς πράγμα

Universidad de Deusto Biblioteca



στιν, ἐγχειρήσαντας δὲ πράττε βεβαίως.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθείς, τίς ἄριστος σύμβουλος; ἔφη, ὁ καιρός.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκε· αἱ τόπων μεταβολαὶ οὔτε φρόνησιν διδάσκουσιν, οὔτε ἀφροσύνην ἀφανίζουσιν.

Τοῦ αὐτοῦ.

Μακάριός ἐστιν ὁ πλουτῶν, καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων· ὁ δὲ μὴ ἐπιθυμῶν, μακαριώτερος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς μέλλων θανάτου καταδικάζειν, ἐδάκρυσεν. εἰπόντος δέ τινος, τί παθὼν αὐτὸς καταδικάζων κλαίεις; εἶπεν· ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει τοῦ συμπαθοῦς ἀχθεσθῆναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.

Τοῦ αὐτοῦ.

Βίας ἔλεγε τοὺς αἰτουμένους παρὰ τῶν θεῶν φρένας ἀγαθάς, καὶ μὴ ἑαυτοὺς παιδεύοντας, ἀναισθήτους εἶναι. οὔτε γὰρ ζωγράφον εὐχόμενον τοῖς θεοῖς δοῦναι αὐτῷ εὔχροιαν καὶ γραμμὴν λαβεῖν, ἂν μὴ μάθῃ τὴν τέχνην. οὔτε μουσικὸν γενέσθαι ποτ᾽ ἂν ἕνεκεν εὐχῆς, εἰ μὴ τὰ μουσικὰ μάθῃ. τὸν δ᾽ αὐτὸν τρόπον, οὐδ᾽ ἂν φρόνιμον γενέσθαι τινὰ εὐχόμενον, εἰ μὴ τούτων τὴν μάθησιν λάβῃ.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκεν, ἐοίκασι τοῖς ὄμμασι τῶν γλαυκῶν, οἱ

περὶ



περὶ τὴν ματαίαν σοφίαν ἠσχοληκότες. καὶ γὰρ ἐκείνης αἱ ὄψεις, νυκτὸς μὲν ἐρρῶνται, ἡλίου δὲ λάμψαντος ἀμαυροῦνται· καὶ τούτων ἡ διάνοια ὀξυτάτη μέν ἐστιν πρὸς τὴν ματαιότητος θεωρίαν, πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ φωτὸς κατακίνησιν ἐξαμαυροῦται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν· ὡς ἐθέλει τὸ φορτίον σε φέρειν φορτίον· ἂν δ᾽ ἀπειθήσῃς, σαυτὸν βλάψεις, καὶ τὸ φορτίον σε φέρει.

2 q alvar gomez // 3 tomo de aquy // este disticho.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς· ἀτυχῆσαι, ἔφη, τὴν ἀτυχίαν μὴ φέροντα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθείς, τί δυσχερές; τὴν ἐπὶ τὸ χεῖρον, ἔφη, μεταβολὴν εὐσεβῶς ὑπενεγκεῖν.

Τοῦ αὐτοῦ.

Ὧν ἄκοσμος ὁ βίος, τούτοις σιωπὴ μέγιστος κόσμος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος, ὅτι τὸ στόμα δυσῶδες εἶχε, πολλὰ εἶπεν αὐτῷ τῶν ἀρρήτων ἐγκατεσάπη.

Τοῦ αὐτοῦ.

Βίας μειρακίου παρὰ πότον ληροῦντος πολλάκις, καὶ μὴ βουλομένου σιωπῆσαι, ἔφη μειράκιον· πῶς πρὸ οὗ ἔμαθες λαλεῖν, πρὸ αὐτοῦ τὸ σιωπᾶν οὐκ ἔμαθες;

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθείς, τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον; εἶπε, ὀρθὴ συνείδησις.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς μὲν ἔν τινι συμποσίῳ σιωπῶν, καὶ σκωπτόμενος ὑπό τινος ἀδολέσχου· καὶ τίς ἄν, ἔφη, δύναιτο μωρὸς ἐν οἴνῳ σιωπᾶν;

: ἀδόλεσχος // garrulus.

Τοῦ

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· ἀγαθὸς εἶ, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε γίνεται φθόνος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· κράτιστον εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκε· τὸν βίον οὕτω μετρεῖν, ὡς καὶ πολλὸν καὶ ὀλίγον χρόνον βιωσόμενος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπὶ πινῶν ἀθλείᾳ, ἔφη· τί αὐτὸν καλεῖς ἄνθρωπε, ὃν κἂν μὴ καλέσῃς, οὐχ ἥξει;

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, ποῖος τῶν θανάτων καλὸς, ἔφη· ὁ ὑπὲρ τῶν νόμων ἐπαγόμενος.

Τοῦ αὐτοῦ.

Βίας θεασάμενος τὴν μάχαιραν ἐρριμμένην, ὦ καινὶς, ἔφη, τίς σε ἀπώλεσεν; ἢ τίνα σύ;

Βλασίου.

Βλάσιος εἶπεν· τὸ κατ᾽ ὄναρ ἰδεῖν τὰ ποθούμενα, φέρει τοῖς ἀγαπῶσι παραμυθίαν.

Γαΐου.

Γάϊος ἔφη· σωφρονεστέρους τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν, τὸ πρὶν παθεῖν, φυλάξασθαι τὸ μὴ παθεῖν.

Γελασίου τοῦ ῥήτορος.

Γελάσιος ὁ ῥήτωρ εἶπεν· ἡ τῶν ἐν φιλοσοφίᾳ δογμάτων δύναμις τοῖς μὲν ἐπιεικέσιν ἀρετῆς ὅπλον, τοῖς δὲ μοχθηροτέροις κέντρον κακίας γίνεται.

Τοῦ



Τοῦ αὐτοῦ.

Ἀδέσποτον γὰρ ἡ ἀρετὴ, καὶ ἑκούσιον, καὶ ἀνάγκης ἐλεύθερον.

Γενναδίου.

Γεννάδιος ἔφη· κτήσασθε δικαιοσύνης ὅπλον, καὶ μὴ θανάτου παίδευσιν.

Γερβασίου.

Γερβάσιος εἶπεν· οὐκ ἔστιν ἄλλην κακίας γένεσιν ἐννοῆσαι, ἢ ἀρετῆς ἀπουσίαν.

Γερμανοῦ.

Γερμανὸς ἔφη· οὐχ ὑφισταμένει τὸ σκότος τὴν τοῦ φωτὸς παρουσίαν, οὐ νόσος ὑγείας ἐπιλαβούσης ἵσταται, οὐκ ἐνεργεῖ τὰ πάθη τῆς ἀπαθείας παρούσης.

Γεροντίου.

Γερόντιος ἔφη· ἐλευθερίαν εἶναι προσήκει παντὸς φόβου τὴν ἀρετὴν, καὶ ἀδέσποτον.

Γρηγορίου τοῦ θεολόγου.

Γρηγόριος ὁ θεολόγος φησί· κρίνει γὰρ περιβοήτους, οὐ δεξιὰ πρᾶξις μόνον, ἀλλὰ καὶ κακία νικῶσα πονηρῶν εὐδοκίμησις.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν· ὁ γὰρ τὸ τοῦ ὄφεως φρόνιμον περὶ τὸ κακὸν διὰ τῆς περιστερᾶς ἀκεραίῳ περὶ τὸ καλὸν ἀναμίξας, οὔτε τὸ φρόνιμον ἐάσει κακοῦργον γενέσθαι, οὔτε τὸ ἁπλοῦν ἀνόητον.

Τοῦ αὐτοῦ.

Γρηγόριος ὁ θεολόγος ἔφη· ἀεὶ πρόπτωμα τοῦ καλοῦ τῶν μὴ καλῶν. κακοῖς δ᾽ ὁμιλῶν, κακὸς πάντως ἔσῃ, κἂν ὑπὲρ αἰδοῦς μή ποτε χρηστὸν πάθῃς. Ζητεῖ γὰρ

τεῖ γάρ, ὧν βεβίωκε συγγνώμην ἔχειν. ἔχθρας ὅρον ἔγνωσκε, φιλίας δὲ μή.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς τὸ ποιεῖν εὖ, τοῦ πάσχειν τιμιώτερον, καὶ περισπουδαστότερον κέρδος ἔλεγε.

Τοῦ αὐτοῦ.

Οὐ γὰρ ὁ ἐν λόγῳ σοφός, οὗτος ἐμοὶ σοφός. οὐδ' ὅστις γλῶσσαν εὔστροφον ἔχει, ψυχὴν δὲ ἄστατον καὶ ἀπαίδευτον. ἀλλ' ὅστις ὀλίγα μὲν ἀρετῆς φθέγγεται, πολλὰ δὲ οἷς ἐνεργεῖ παραδείκνυσι, καὶ τὸ ἀξιόπιστον τοῦ λόγου διὰ τοῦ βίου προστίθησιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν· μὴ δ' ἄλλους ἰατρεύειν ἐπιχειρήσωμεν, αὐτοὶ βρύοντες ἕλκεσιν. vt plana. 107.

Γρηγορίου τοῦ Νυσσαέως.

Γρηγόριος ὁ Νυσσαεὺς ἔφη· πάσης ὄντως κακίας οἷόν τι δέλεαρ ἡ ἡδονή, προβληθεῖσα εὐκόλως τὰς λιχνοτέρας ψυχὰς ἐπὶ τὸ ἄγκιστρον τῆς ἀπωλείας ἐφέλκεται.

: λιχνός. gulosus.

Τοῦ αὐτοῦ.

Ὥσπερ τὰ εὐώδη τῶν ἀρωμάτων τῇ ἰδίᾳ εὐπνοίᾳ τὸν παρακείμενον ἀέρα ποιεῖ, οὕτως ἀνδρὸς ἀγαθοῦ παρουσία τοῖς πέλας ὀνίνησιν.

Τοῦ αὐτοῦ.

Ὁ τοῖς πτωχοῖς κοινωνήσας, εἰς τὴν μερίδα τοῦ δι' ἡμᾶς πτωχεύσαντος ἑαυτὸν καταστήσει.

Τοῦ αὐτοῦ.

Ἡ μὲν ἀταξία τῆς ἀναρχίας ἐστὶ γνώρισμα, ἡ δὲ τάξις τὸν ἡγεμονεύοντα δείκνυσιν.

Τοῦ



Τοῦ αὐτοῦ.

Ἅπτεται οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος.

Τοῦ αὐτοῦ.

Τὸ καλῶς ἔχειν ὀλίγα, πολὺ τιμιώτερον τοῦ κακῶς ἔχειν πολλά.

Τοῦ αὐτοῦ.

Βουλοίμην δ' ἂν ἔγωγε τῶν ἀγαθῶν τι λεγόντων ἀκούειν μᾶλλον, ἢ λέγειν αὐτός. περὶ παντὶ γὰρ εὐτυχέστερον ἀμείνοσιν ἐντυγχάνειν, ἢ χείροσιν.

: brevis oratio // sed excordepro // iro.

Τοῦ αὐτοῦ.

Εὔηχός ἐστιν ἐκείνη ἡ φωνή, καὶ μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς, οὐχὶ μετά τινος διατάσεως γινομένη, ἀλλ' ἡ ἀπὸ καθαρᾶς συνειδήσεως ἀναπεμπομένη ἐνθύμησις.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· βαρύ τι χρῆμα τὸ χρυσίον ἐστί, κοῦφον δέ τι καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή.

Τοῦ αὐτοῦ.

Γρηγόριος ἔφη· μήτε ἀθυμοῦντας, ἀπελπίσῃς εὐημερίαν· μήτε καλῶς πράττων, ἀθυμίαν. εἷς ἐνιαυτὸς τέσσαρας ὥρας ἔχει. μία καιροῦ ῥοπὴ πολλὰς πραγμάτων μεταβολάς.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπε· τυφλὸν ὁ θυμὸς καὶ ἐπίλυπον, καὶ μάλιστα, ὅταν τὸ δικαίως ἀγανακτεῖν μὴ παρῇ.

Δημάδου.

Δημάδης ἔφη· τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος, τοῖς δὲ ἐλευθέροις νόμος ἀνάγκη.

Δημ-

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca

Δημητρίου τοῦ φαληρέως.

Δημήτριος ὁ φαληρεὺς εἶπε· τὸν μὴ δυνάμενον γενναίως φέρειν ἀτυχίαν, μηδὲ εὐτυχίαν ἔφη δύνασθαι.

Δημοκρίτου.

Δημόκριτος ἔφη· θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον αὐτοῦ πράττειν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· οἷσιν ὁ τρόπος εὔτακτος, τουτέοισι καὶ ὁ βίος συντέτακται.

Τοῦ αὐτοῦ.

Φρονήσεως ἔργον, μέλλουσαν ἀδικίην φυλάξασθαι. ἀναλγησίην δὲ γινομένης καὶ ἀμύνασθαι.

Τοῦ αὐτοῦ.

Ἔνιοι πολέμου μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι.

Τοῦ αὐτοῦ.

Δημόκριτος ἔφη· ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἀνεσχάτη.

Τοῦ αὐτοῦ.

Πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.

Τοῦ αὐτοῦ.

Τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.

Τοῦ αὐτοῦ.

Μὴ ταχὺ ἐπὶ σεαυτῷ μέγα φρονήσῃς· πολλὰ γὰρ λανθάνομεν ἑαυτοὺς οὐ δεδαμακότες τὴν ἐπιθυμίαν, ἀλλ᾽ ὑπ᾽ αὐτῆς μᾶλλον ἐνοχλούμενοι.

Τοῦ αὐτοῦ.

Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τὸ καλὸν αἱρεῖσθαι δεῖ.

Τοῦ



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων.

Τοῦ αὐτοῦ.

Δημόκριτος εἶπε· ξένοις μεταδίδου καὶ τοῖς δεομένοις ἐκ τῶν ἐνόντων· ὁ γὰρ διδοὺς δεομένῳ, οὐδ᾽ αὐτὸς λείψεται δεόμενος.

Τοῦ αὐτοῦ.

Δημόκριτος ἔφη· αἱ μικραὶ χάριτες ἐν καιρῷ μέγισται εἰσὶ τοῖς λαμβάνουσι ταύτας ἐν περιστάσει.

Τοῦ αὐτοῦ.

Μικρὰ διδόναι βούλου μᾶλλον, ἢ μεγάλα ἐγγυᾶν. ὅτε γὰρ κίνδυνος ἄπεστι, καὶ ὁ λαβὼν ἔργου, οὐ λόγου χρείαν ἔχει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν· ᾧ τινι τὴν χάριν καταθεὶς, θᾶττον τὴν χάριν δίδου. ἡ γὰρ βραδυτὴς, λυμαίνεται τὴν δόσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς κρεῖσσον τοῦ λέγειν τὸ πράττειν ἔφη.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδὼν τινὰ προχείρως πᾶσι χαριζόμενον, καὶ ἀνεξετάστως ὑπηρετούμενον· κακῶς ἀπόλοιο, ἔφη, ὅτι τὰς χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας. - προχείρως

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπε· δυνάμενος χαρίζεσθαι μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπιστάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.

Τοῦ αὐτοῦ.

Δημόκριτος εἶπε· πονηρὰ φύσις ἐξουσίας ἐπιλαμβανομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

 Τοῦ

Universidad de Deusto Biblioteca

Τοῦ αὐτοῦ.

Δημόκριτος εἶπε· δυσωνικὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία· μὴ κτηθεῖσα μὲν γὰρ τρύχει, κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν, ἀποκτηθεῖσα δὲ ταῖς λύπαις.

Τοῦ αὐτοῦ.

& qui non indiget.

Ὁ αὐτὸς ἔλεγεν· οὐχ ὁ πλουτῶν, ἀλλ' ὁ μὴ χρήζων πλούτου μακάριος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· εἰ μὴ πολλῶν ἐπιθυμεῖς, τὰ ὀλίγα πολλὰ δοξάζεις. μικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενῆ πλούτου ποιήσει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄν τις γένηται πλούσιος; ἔφη, ἐὰν τῶν ἐπιθυμιῶν ἔσται πένης.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἴρηκε, τὰ μέγιστα τῶν κακῶν οἱ πένητες ἐκπεφεύγασιν, ἐπιβουλὴν, φθόνον, καὶ μῖσος, οἷς οἱ πλούσιοι καθ' ἡμέραν συνοικοῦσιν.

Τοῦ αὐτοῦ.

Δημόκριτος ἔφη· αὐταρκείη τροφῆς μικρὰ νὺξ οὐ γίνεται οὐδέποτε.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν, ἐν μὲν τοῖς ἐσόπτροις, ὁ τῆς ὄψεως· ἐν δὲ ταῖς ὁμιλίαις, ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.

Τοῦ αὐτοῦ.

Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς, τῇ ψυχῇ περιτίθησι σχήματα.

Τοῦ αὐτοῦ.

Αἱ μὲν χελιδόνες εὐδίαν ἡμῖν προσημαίνουσιν,

οἱ δὲ



οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν.

Τοῦ αὐτοῦ.

Δημόκριτος τὴν μὲν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικρὰν, τοὺς δὲ καρποὺς γλυκεῖς.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· τῆς παιδείας ὥσπερ χρυσοῦ, τὸ καλὸν ἐν παντὶ τόπῳ τίμιον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενός τινα πολλὰ ἀπαίδευτον ὁμιλοῦντα, εἶπε· διαλέγεσθαί μοι δοκεῖ δυνατὸς, ἀλλὰ σιωπᾶν ἀδύνατος. — loquentem

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς χρήματα μὲν πορίζειν, οὐκ ἀχρεῖον· ἐξ ἀδικίας δὲ, πάντων μακρὸν κάκιον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγε· κρεῖσσον τὰ εἰκεῖα ἐλέγχειν ἁμαρτήματα, ἢ τὰ ἀλλότρια. : οἰκεῖα · legito.

Τοῦ αὐτοῦ.

Δημόκριτος εἶπε· παῖδας μὲν ὄντας ἡμᾶς οἱ γονεῖς παιδαγωγῷ παρέδοσαν, ἐπιβλέποντι πανταχῆ πρὸς τὸ μὴ βλάπτεσθαι. ἄνδρας δὲ γενομένους, ὁ θεὸς παραδίδωσι τῇ ἐμφύτῳ συνειδήσει φυλάττειν. ταύτης οὖν τῆς φυλακῆς μηδαμῶς καταφρονητέον, ἐπεὶ καὶ τῷ θεῷ ἀπαρεστοι, καὶ τῷ ἰδίῳ συνειδότι ὑπεύθυνοι καθιστάμεθα.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔλεγεν· οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες, ἑλκόμενοι σιγῶσιν.

Δημοσθένους.

Δημοσθένης λοιδορούμενος ὑπὸ ἀσώτου, εἶπεν· ᾧ οὐδέν ἐστιν ἱκανόν, τούτῳ οὐδὲ εἰπεῖν αἰσχρὸν οὐδέν ἐστιν.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἐρομένου τινὸς αὐτὸν πρεσβύτην ὄντα, εἰ ἔτι γυναικὶ χρῆται· εὐφήμει, ἔφη, ἐπὶ τούτῳ γὰρ τῷ γήρᾳ πλείστην ἔχω χάριν, ὅτι με ἐξελύσατο τῶν τοιούτων ἐπιθυμιῶν.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς εἴρηκεν, ὥσπερ οἰκίας οἶμαι καὶ πλοίου καὶ τῶν ἄλλων τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς, καὶ τὰς ὑποθέσεις, ἀληθεῖς καὶ δικαίας.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔφη· δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

Τοῦ αὐτοῦ.

Δημοσθένης ὀνειδιζόμενος, ὅτι πονηροῖς συνδιατρίβει, κἀκεῖνος (ἔφη) ἄριστος ἰατρός ἐστιν, ὃς τοὺς ὑπὸ πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔλεγεν, ὅτι τὸ πᾶσιν ἀρέσκον, δυσαρέστατόν ἐστιν.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔφη· ὥσπερ ὁ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ φίλος τοῖς τῶν χρωμένων ἤθεσιν.





Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔφη· δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἐγκαλοῦντι αὐτῷ τινῶν φίλων, ὅτι πονηρῷ τινὶ κρινομένῳ συνεῖπε, τοὺς χρηστοὺς, ἔφη, μὴ δεῖσθαι βοηθείας.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔφη· τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔλεγεν· ἡ μάχαιρα μὲν τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ἔφη· τὸν κόλακα τούτῳ διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς θεασάμενος τινὰ ἐκφερόμενον φιλάργυρον, ἔφη· οὗτος βίον ἀβίωτον βιώσας, ἑτέροις βίον κατέλιπεν. = Feretro ellatus

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς πυνθανομένου τινὸς, πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένηται, ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις, ἔφη, καὶ ἑαυτῷ ἐπιτιμῶν μάλιστα.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς λέγοντος αὐτῷ τινος, ὅτι τοῦ ἀγροῦ ἀμελεῖς, ἑαυτοῦ δὲ σχολάζεις, εἶπε· τούτου ἐπιμελοῦμαι, δι' οὗ καὶ τὸν ἀγρὸν ἐκτησάμην.

Τοῦ αὐτοῦ.

ὁ αὐτὸς ποτὲ πρεσβεύων ὑπὲρ ἀθηναίων πρὸς φί-



Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca



λιπὼν, καὶ παῤῥησίᾳ διαλεγόμενος ὁ Φίλιππος, οὐ φοβῇ μὴ τὴν κεφαλήν σου προστάξω ἀφαιρεθῆναι; φησὶν, οὔ. ἐὰν γάρ σύ μοι ταύτην ἀφέλῃς, ἡ πατρίς μου αὐτὴν ἀθάνατον ἀναθήσει.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· δεῖ τοὺς πόνους διώκειν, ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνεται τοῖς ἀνθρώποις.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, πῶς τὴν ῥητορικὴν περιεγένετο, ἔφη· πλέον ἔλαιον ἤπερ οἶνον συνδεδαπάνηκα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐν συμποσίῳ τινὶ πρὸς τὸν πολλὰ λαλοῦντα ἔφη· εἰ τοσαῦτα ἐφρόνεις, οὐκ ἂν τοσαῦτα ἐλάλεις.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, διατί μίαν γλῶτταν ἔχομεν, ὦτα δὲ δύο; εἶπεν, ὅτι διπλάσιον δεῖ ἀκούειν τοῦ λέγειν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπεν· οὐ τοσοῦτον ὁ λόγος, ὅσον χρηστὸς τρόπος δυνάμενος.

Τοῦ αὐτοῦ.

Δημοσθένης ὁ ῥήτωρ ἔφη· πόλεως εἶναι ψυχὴν τοὺς νόμους. ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλιν μὴ ὄντων νόμων καταλύεσθαι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, τί περιποιεῖ ἡ ῥητορικὴ τοῖς μανθάνουσιν; εἶπεν· αἰσχρὸν ἐπαμύνασθαι, ὅπτις πρότερον χαλεπήνῃ.

Δημώνακτος.

Δημῶναξ ἔφη· τοσοῦτον εἰς ἀρετὴν προσθήσεις, ὅσον ἂν ἀφέλῃς τῶν ἡδονῶν.

Τοῦ



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, αἰσχρὸν ἐν ἄλλοις μὴ ἀποδέχεσθαι τὰς ἀρετὰς, ἐν ἑαυτοῖς δὲ ἔχειν τὰς κακίας.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ὠνείδισε τοὺς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δὲ ἀμελοῦντας, ὡς τῶν μὲν οἴκων ἐπιμελουμένους, τῶν δὲ ἐνοίκων ἀμελοῦντας.

Τοῦ αὐτοῦ.

Δημῶναξ ἔφη, ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτὸν, ἵνα ἀπαθὴς τῶν κακῶν ἔσῃ.

Τοῦ αὐτοῦ.

Δημῶναξ καταιτιωμένου τινὸς τῶν ἑταίρων αὐτῷ καὶ φήσαντος, οὐκ ἐχρῆν σε τὸν ἐχθρόν μου φίλον εἶναι· σὲ μὲν οὖν, ἔφη, οὐκ ἐχρῆν τῷ φίλῳ μου εἶναι. Simyle plana.

Τοῦ αὐτοῦ.

Δημῶναξ εἰρήκει, ἐλάσσω κακὰ πάσχουσιν οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν, ἢ ὑπὸ τῶν φίλων. τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσὶ, καὶ γίνονται σφαλεροὶ καὶ ἐπιβούλευτοι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγε, φεύγειν δεῖ κακῶν φιλίαν, καὶ ἀγαθῶν ἔχθραν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, ἰατρὸν καὶ φίλον οὐ τὸν ἴδιον, ἀλλὰ τὸν ὠφελιμώτερον ἐκλέγεσθαι δεῖ.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, ἀπ' οὐδενὸς δοκήσει φιλεῖσθαί τις, μηδένα φιλῶν.

Universidad de Deusto Biblioteca



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν· οὔτε οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὔτε οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι.

Τοῦ αὐτοῦ.

ἔκφρων. ονος // ὁ. ἡ. amens.

Δημώναξ ἄλλων ἐξεταζόντων, εἰ ὁ κόσμος ἐκφόνως ἔμψυχος καὶ σφαιροειδής· ὑμεῖς, εἶπε, περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς σαυτῶν ἀκοσμίας οὐ φροντίζετε.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν· τοῖς ὦσι πλέον, ἢ τῇ γλώττῃ χρῶ.

Διαγόρα.

Διαγόρας ποτὲ πλέων καὶ κινδυνεύων, τῶν οὖν συμπλεόντων λεγόντων, ὅτι δι' αὐτὸν ἀπόλλυνται, δείξας αὐτοῖς ἕτερα πλοῖα ἐπίσης χειμαζόμενα, ἔφη, μὴ κἀκεῖ Διαγόρας.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ληφθεὶς ὑπὸ Ἀθηναίων, καὶ μέλλων ὑπ' αὐτῶν ἐπὶ θανάτῳ ἄγεσθαι, ἐπὶ τὸ τοὺς θεοὺς μὴ ὀνομάζειν, ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἔφη· ὦ θεοί, εἰ ἐστὲ θεοί, σώσατέ με.

Διδύμου.

Δίδυμος τὸ εἰδέναι τινὰ, ὅτι ἀγνοεῖ σοφίας ἐστὶν, εἶπεν· ὡς καὶ τὸ εἰδέναι, ὅτι ἠδίκησε δικαιοσύνης.

Διογένους.

Διογένης εἰπόντος τινὸς, τί μάλιστα γηράσκει παρ' ἀνθρώποις; εἶπε, χάρις.

Τοῦ αὐτοῦ.

Διογένης θεασάμενος νεανίσκον οἰήματος πλήθη, ὃς ἦν ἐξ αὐλητρίδος, εἶπε· νεανίσκε, μεῖζον ἔχεις τὸ φύσημα τῆς μητρός.





Τοῦ αὐτοῦ.

Διογένης ὁ κύων ἔφη, οὐκ ἔστιν κοινὸς ἀντάξιος οὐδ' ὃν δεινὸς ἀνὴρ καὶ ἄναλκις ὑπὸ πλούτου καὶ μαλακίας διορυκνώς.

ἄναλκις. δος. ὁ. ἡ. Impotens.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενος Δημοσθένην ἐν καπηλείῳ αἰσχυνόμενον καὶ ὑποχωροῦντα, εἶπεν· ὅσον μᾶλλον ὑποχωρεῖς, τοσοῦτον μᾶλλον ἐν τῷ καπηλείῳ ὑπάρχεις.

caupona // hoc est taber // na.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς θεασάμενος μειράκιον μεμυρισμένον, εἶπεν, ἡ περὶ τῆς κεφαλῆς σου μυρωδία καὶ εὐωδία, δυσωδίαν σου τῷ βίῳ ἐμποιεῖ.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, διατί κύων καλεῖται, εἶπε· διότι τοὺς μὴ δόντας ὑλακτῶ, τοὺς δὲ διδόντας σαίνω, τοὺς δὲ πονηροὺς δάκνω.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, διὰ τίνα αἰτίαν ἀνθρώποις τοῖς μὴ προσαιτοῦσι διδόασι, τοῖς δὲ φιλοσοφοῦσιν οὔ, πάνυ τι εἶπεν, ὅτι χωλοὶ μὲν ἴσως καὶ τυφλοὶ ἐλπίζουσι γενέσθαι, φιλόσοφοι δὲ, οὔ.

Τοῦ αὐτοῦ.

Διογένης ὀνειδιζόμενος πρὸς αὐτόν τινος, ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη, καὶ ὁ ἥλιος, ἀλλ' οὐ μιαίνεται.

Τοῦ αὐτοῦ.

Διογένης δεινὸν ἔλεγεν, εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς κρατοῦσι καὶ ἡδονῶν, οἱ μὲν τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος, σωφροσύνης δὲ ἕνεκα πῶς τούτων οὐ καταφρονήσομεν;

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

Διογένης ἐρωτηθείς, πῶς ἄν τις πολιτεύοιτο; ἔφη, καθάπερ πυρὶ μήτε λίαν ἐγγὺς εἶναι, μήτε πόῤῥω, ἵνα μὴ ῥιγῶσιν.

Τοῦ αὐτοῦ.

Διογένης λοιδορούμενος ὑπό τινος φαλακροῦ, εἶπεν, σὲ μὲν οὐχ ὑβρίζω· τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακοῦ κρανίου ἐξέφυγον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτός τινος προδότου κακῶς αὐτῷ λέγοντος, ἔφη, χαίρω ἐχθρός σου γενόμενος. σὺ γὰρ οὐ τοὺς ἐχθροὺς, ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.

Τοῦ αὐτοῦ.

Διογένης ἐπὶ τῆς κολακείας, ἔφη· ὥσπερ ἐπὶ μνήματος αὐτοῦ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθείς, τί τῶν θηρίων κάκιστα βλάπτει; ἔφη, τῶν μὲν ἀγροίκων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθείς, τί γῆ βαρὺ βαστάζει; ἔφη, ἄνθρωπον ἀπαίδευτον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ σκεύη περιφέροντας, ἤρετο τίνος ταῦτα; τῶν δὲ εἰπόντων, Ἀναξιμένους, ἔφη, οὐκ αἰδεῖται ταῦτα ἔχων ἅπαντα, αὐτὸς ἑαυτοῦ μὴ ἔχων.

Τοῦ αὐτοῦ.

Διογένης ἔφη, τοὺς ῥήτορας δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς.

Τοῦ



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπε· νεκρὸν ἰατρεύειν, καὶ γέροντα νουθετεῖν, ταὐτόν ἐστιν.

Τοῦ αὐτοῦ.

Διογένης ἐρωτηθεὶς ποῖα θηρία εἴη χαλεπώτερα, εἶπεν· ἐν μὲν τοῖς ὄρεσιν, ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι, τελῶναι καὶ συκοφάνται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη, ὥσπερ ἄλειμμα οὐ τὸ ἡδὺ καλὸν, οὐδὲ τὸ πικρὸν, ἀλλὰ τὸ ὑγιεινόν, οὕτω καὶ σοφὴ οὐχ ἡδεία καλὴ, οὐδ' ἡ πολλὴ, ἀλλ' ὑγιεινή.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς, ἐν συμποσίῳ τινὶ πολλοῦ οἴνου αὐτῷ διδομένου, τοῦτον ἐξέχεε. ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο, ἔφη· ἐὰν γὰρ αὐτὸν ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται, ἀλλὰ κἀμὲ προσαπόλλυσιν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς μειράκιον ἐκστατικὸν ἰδὼν, καὶ παραφρονοῦν, ἔφη, νεανίσκε, ὁ πατὴρ μεθύων σε ἔσπειρε. Vt pla. 335.

Τοῦ αὐτοῦ.

Διογένης προσελθόντος τινὶ μειρακίῳ καταβεβρωκότι τὰ πατρῷα, ᾔτει αὐτὸν δέκα δραχμὰς δεκατίαν, εἶπεν, ὅτι παρὰ μὲν τῶν ἄλλων ἐλπίζω λήψεσθαι πολλάκις, παρὰ δὲ σοῦ οὐκέτι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἡμέρας οὔσης ποτὲ λύχνον ἅψας περιῄει τὴν ἀγοράν. πυνθανομένων δέ τινων, πρὸς τί τοῦτο ποιεῖ; ἔλεγεν, ἄνθρωπον ζητεῖν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς

Universidad de Deusto Biblioteca



Ὁ αὐτὸς, τῶν ἀνθρώπων ἔφη ἐνίους τὰ δέοντα λέγοντας ἑαυτῶν οὐκ ἀκούειν, ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας οὐκ αἰσθάνεσθαι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ὀδυρομένου τινὸς, ὅτι ἐπὶ ξένης ἔμελλε τελευτᾶν, ἔφη· τί ὀδύνῃ, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ αὐτὴ ὁδὸς εἰς ᾅδην.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη, ἀσπὶς παρ' ἐχίδνοις φάρμακον δανείζεται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί νομίζει τὸ γῆρας εἶναι, ἀπεκρίνατο, τοῦ ζῆν χειμῶνα.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν· εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι· εἰ δὲ πρὸς νεκρούς, μὴ βράδυνε.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· εἰ μὲν ἔστι μαθεῖν, ἃ δεῖ παθεῖν, τὸ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν· εἰ δὲ παθεῖν δεῖ, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή.

Διονυσίου τοῦ πρεσβυτέρου.

Διονύσιος ὁ πρεσβύτερος ἐρωτηθεὶς τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ, ἔφη, τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

Simile plana 197. hoc est hazer bien y dezir verdad es semejar a dios

Δίωνος τοῦ φιλοσόφου.

Δίων ὁ φιλόσοφος υἱόν τινος αὐτῷ συνιστάντος, καὶ πόσου μισθοῦ διαλεγομένου; καὶ τρεῖς χιλίας δραχμὰς αἰτοῦντος, τοῦ δὲ εἰπόντος ὡς ἄμεινον ἀνδράποδον πρίασθαι,



σασθαι· νὴ Δία, ἔφη, κἀγὼ συναινῶ. ἕξεις γὰρ ἀνθ' ἑνὸς δύο ἀνδράποδα.

dos esclavos por vno. pla. 203. dize que el idiota es esclavo. Simile plana 341.

Τοῦ αὐτοῦ.

Δίων ὁ Ῥωμαῖος ἔφη· ἀδύνατόν ἐστι τὰ ἐναντία τινὰ τοῖς οὐκ ὀρθῶς ἔχουσι πράττοντα, καὶ ἀγαθοῦ τινὸς ἀπ' αὐτῶν ἀπολαῦσαι.

Τοῦ αὐτοῦ.

Δίων ὁ Χρυσόστομος εἴρηκεν· ὅσῳ δ' ἄν τις τοὺς φίλους ἰσχυροτέρους ποιοῖ, οὗτος ἰσχυρότερος γίνεται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εἶπε, ῥᾷον ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέροι μετὰ φίλων, ἢ μόνος εὐτυχίαν τὴν μεγίστην.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· ὁ τοῖς φίλοις χαριζόμενος, ἥδεται διδοὺς, ἅμα δὲ ὡς αὐτὸς κτώμενος.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔλεγεν· δεῖ τὸν ἑταίρων μέλλοντα ἄρξειν, αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν.

Τοῦ αὐτοῦ.

Δίων καὶ τὰ γελάστου εἶναι ἔλεγεν, τοὺς σπουδάζοντας περὶ τὸν πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα, μὴ βλάπτουσα τὸν ζηλούμενον.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίαν ἐξουσίαν, εἰ μὴ ἕτερος ἕτερον λυμαίνεται, φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς, φθόνον, εἶπεν, ἕλκος εἶναι τῆς ἀληθείας.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἰδών τινα φθονερὸν σφόδρα κεκυφότα, εἶπεν, ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, πότερον οἱ ζῶντες πλείους εἰσὶν, ἢ τεθνηκότες; τοῦτο μὲν, ἔφη, εὐχερέστερον ἐστὶν εὑρεῖν, διαπορεῖν δὲ τοὺς πλέοντας ἐν ποτέροις θείην.

Τοῦ αὐτοῦ.

p. vna lengua y dos// orejas.

Ὁ αὐτὸς εἶπε, δικαίως μεμηχανῆσθαι τὴν φύσιν ἡμῖν δύο μὲν ὦτα, μίαν δὲ γλῶσσαν, ἵνα ἀκούωμεν πλείονα ἢ λαλῶμεν.

Ἐμπεδοκλέους.

Ἐμπεδοκλῆς ἐρωτηθεὶς, διατί σφόδρα ἀγανακτεῖς κακῶς ἀκούων; ἔφη, οὐδὲ ἐπαινούμενος ἡσθήσομαι, εἰ μὴ κακῶς ἀκούων ἀχθέσομαι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς, πρὸς τὸν λέγοντα ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι κατὰ λόγον, εἶπε, τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν.

Ἐπικούρου.

Ἐπίκουρος, εἰ ταῖς τῶν ἀνθρώπων εὐχαῖς ὁ θεὸς κατηκολούθει, ἔφη, θᾶττον ἂν ἀπώλλυντο πάντες ἄνθρωποι, συνεχῶς πολλὰ καὶ χαλεπὰ κατ' ἀλλήλων εὐχόμενοι.

Τοῦ αὐτοῦ.

ἐπίκουρος



Ἐπίκουρος ἔφη· μὴ φεῦγε μικρὰ χαρίζεσθαι, δόξεις γὰρ καὶ πρὸς τὰ μεγάλα τοιοῦτος εἶναι.

Τοῦ αὐτοῦ.

Ἐπίκουρος εἶπεν, οὐ προσποιεῖσθαι φιλοσοφεῖν, ἀλλ' ὄντως φιλοσοφεῖν. οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν φιλοσοφεῖν.

προσδέεται // : Indiget. vejn : lexico.

Ἐπικτήτου.

Οἱ μὲν κόρακες τῶν τετελευτηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται, ὅταν αὐτῶν οὐδεμία ἐστὶ χρεία· οἱ δὲ κόλακες τῶν ζώντων τὰς ψυχὰς διαφθείρουσι, καὶ τὰ τούτων ὄμματα τυφλώττουσι.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς, πιθήκου ὀργὴν καὶ κόλακος ἀπειλὴν, ἐν ἴσῳ θετέον.

Τοῦ αὐτοῦ.

Ἐπίκτητος νεανίσκου τινὸς ἐν θεάτρῳ ἐναβρυνομένου, καὶ λέγοντος ὅτι σοφός εἰμι, πολλοῖς γὰρ ὡμίλησα σοφοῖς. εἶπε· κἀγὼ πολλοῖς πλουσίοις, ἀλλὰ πλούσιος οὐκ εἰμί.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· οὐ καλὸν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα μεθύουσιν.

Τοῦ αὐτοῦ.

Ἐπίκτητος ἐν εὐτυχίᾳ φίλον εὑρεῖν εὐπορώτατον εἶπεν, ἐν δὲ δυστυχίᾳ πάντων ἀπορώτατον. καὶ γὰρ ἡ τῶν περιστάσεων ἀνάγκη τοὺς μὲν φίλους δοκιμάζει, τοὺς δὲ ἐχθροὺς ἐλέγχει.

Τοῦ αὐτοῦ.

Ἐπίκτητος ἐρωτηθεὶς, τίς ἐν ἀνθρώποις πλούσιος· εἶπεν, ὁ αὐτάρκης.

Τοῦ

Universidad de Deusto Biblioteca



Τοῦ αὐτοῦ.

Ἐπίκτητος, ἡ αὐτάρκεια (ἔφη) καθάπερ ὁδὸς βραχεῖα καὶ ἡδεῖα τερπνῆς, χάριν μὲν ἔχει μεγάλην, πόνον δὲ μικρόν.

Εὐκλείδου.

: πρὸς τοὺς πολυ // // πραγμονας.

Εὐκλείδης ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, ὁποῖοί τινές εἰσιν οἱ θεοί, καὶ τίνι χαίρουσι· τὰ μὲν ἄλλα οὐκ οἶδα, ἔφη, τοὺς μέντοι φιλοπράγμονας ὅτι μισοῦσι, ἀσφαλῶς οἶδα.

Εὐκρίτου.

Εὔκριτος ὁ Χῖος ἐρωτηθεὶς ὑπό τινος, πότερον ἂν θέλοι γενέσθαι Κροῖσος ἢ Σωκράτης, ἔφη· ζῶν μὲν Κροῖσος, ἀποθανὼν δὲ Σωκράτης.

Εὐπόλεως.

ἀλκιβιάδης.

Εὔπολις ὁ τῶν κωμῳδιῶν ποιητής, πυνθανόμενος ὅτι Ἀλκιβιάδης τὰς τῶν πολιτῶν γυναῖκας μοιχεύοι, ἔφη· Ἀλκιβιάδης μὴ ὢν ἀνήρ, πολλῶν γυναικῶν ἐστιν ἀνήρ.

Εὐριπίδου.

pestando guisan // do de comer pa // ra si.

Εὐριπίδης ὁ τῶν τραγῳδιῶν ποιητής, ἐπειδὴ ὀψωνοῦντος αὐτοῦ ἐπελάβετό τις λέγων, ὅτι Σοφοκλῆς τοῦτο διὰ δούλου ποιεῖ, ἔφη· τοιγαροῦν ὁ Σοφοκλῆς ἐσθίει ὄψον, ὁποῖον ἂν αὐτῷ τῷ οἰκέτῃ ἀρέσῃ· ἐγὼ δὲ, ὁποῖον ἂν ἐμοί.

Τοῦ αὐτοῦ.

Εὐριπίδης εἶπεν, ὅτι λείψανα τῶν ἀγαθῶν ἀνδρῶν ἀφαιρεῖται χρόνος, ἡ δ' ἀρετὴ καὶ θανοῦσι λάμπει.

Εὐσεβείου.





Εὐσέβειος εἶπεν· οἱ μάταιοι τῶν ἀνθρώπων, τοὺς μὲν μεγάλα χρήματα ἔχοντας, καὶ φαύλους ὄντας τιμῶσί τε καὶ θαυμάζουσι. τῶν δὲ σπουδαίων, ἐπειδὰν ἀχρηματίαν καταγνῶσιν, ὑπερφρονοῦσι.

Θάλου τοῦ Μιλησίου.

Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς ὑπό τινος, τί ἐστιν ἀγαθὸν καὶ κακόν; εἶπεν, ἡ γλῶττα.

la lengua es // mala y es buena. // simple sup. plana. // .21. et .22.

Θεανοῦς.

Θεανὼ ἡ Πυθαγορικὴ φιλόσοφος ὀργισθεῖσά ποτε ἰδίᾳ θεραπαίνῃ, ἔφη· ἐμαστίγωσα ἄν σε, εἰ μὴ ἐθυμούμην.

Θεμιστοκλέους.

Θεμιστοκλῆς ὁ τῶν Ἀθηναίων στρατηγὸς θεασαμένου τινὸς αὐτὸν νύκτωρ περιπατοῦντα, καὶ ἐρωτήσαντος, τί δὴ μόνος Ἀθηναίων ἐγρήγορεν; ὅτι, ἔφη, οὐκ ἐᾷ με τὰ Μιλτιάδου τρόπαια καθεύδειν.

Τοῦ αὐτοῦ.

Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει.

Θεοκρίτου.

Θεόκριτος ὁ Χῖος παραγενόμενός ποτ' εἰς Ῥόδον, καὶ θεασάμενος τοὺς Ῥοδίους τὰς μὲν οἰκίας λιθίνας ἔχοντας, καὶ κατασκευάζοντας, ὀψωνοῦντας δὲ λιτελῶς, ἔφη· Ῥόδιοι οἰκοδομοῦσι μὲν ὡς ἅπαντα βιωσόμενοι τὸν αἰῶνα, ὀψωνοῦσι δὲ ὡς αὔριον ἀποθανούμενοι.

tenuj // tor.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἐλθὼν εἰς τὸ Βυζάντιον, καὶ εὑρὼν αὐτοὺς πολλὰ λαλοῦντας, οὐ λόγους ἔφη ὑμεῖς ἀλλὰ τοῦ στόματος οἰκεῖτε.

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου, καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ, ποῖα ἐστὶν ἃ καλῶς εἴρηκε, ἔφη, ἃ παρέλιπες.

ἀφυής, έος // ὁ, ἡ. ineptus // ... Sine // natura. indoctus.

Θεοπέμπτου.

Θεόπεμπτος ἔφη· μήτε αἴτιον κακοῦ τὸ θεῖον ὑπολάμβανε, μήτε χωρὶς αὐτοῦ δυστυχεῖν ἡμᾶς νόμιζε.

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς εὐγενεῖς εἶναι νόμιζε ἔλεγεν, μὴ τοὺς ἐκ τῶν καλῶν καὶ ἀγαθῶν γεγεννημένους, ἀλλὰ τὰ καλὰ καὶ ἀγαθὰ προαιρουμένους.

Θεοφυλάκτου.

Θεοφύλακτος, ἐπιπολαστὸς ἔπαινος ἀτιμότερος ψόγου, ἔφησε. dixit

Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς ἃ λόγοις ἁμαρτάνομεν, ἔργοις τὴν τιμωρίαν ὑφέξομεν.

Θουκυδίδου.

Θουκυδίδης εἶπε· γενναίων γὰρ ἀνδρῶν πᾶσα γῆ τάφος.

Θεοφράστου.

Θεόφραστος ἔφη· τοὺς μοχθηροὺς τῶν ἀνθρώπων οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

Ἰσοκράτους.

Ἰσοκράτης ὁ ῥήτωρ θεασάμενός τινα τῶν μαθητῶν τοῦ μὲν ἀγροῦ ἐπιμελούμενον, τῆς δὲ πράξεως ἀμελοῦντα, ὅρα φησὶ ὦ οὗτος μὴ τὸν ἀγρὸν ἐξημερῶσαι βουλόμενος, τὴν ψυχὴν ἀγριώσῃς.





Τοῦ αὐτοῦ.

Ὁ αὐτὸς Ἀντιγόνου αὐτῷ τοῦ βασιλέως ἀπειλήσαντος θάνατον, ἠγνόουν (ἔφη) ὦ βασιλεῦ κωνείῳ σε τὸ αὐτὸ δύνασθαι.

Τοῦ αὐτοῦ.

Βούλου τὰς τῆς ἀρετῆς εἰκόνας ὑπομνήματα μᾶλλον ἔλεγεν ἢ τοῦ σώματος καταλιπεῖν.

Τοῦ αὐτοῦ.

Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

Τοῦ αὐτοῦ.

Ὁ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

Ἰωάννου τοῦ κλίμακος.

Ἰωάννης ὁ κλίμαξ ἔφη· ἐκ συγκρίσεως κακῶν δεῖ ὑμᾶς τὸ κουφότερον ἐκλέξασθαι.

: ex comparatione // vel ex collatione.

Λύκωνος.

Λύκων ὁ σοφὸς τὴν παιδείαν ἔλεγεν ἱερὸν ἄσυλον εἶναι.

Μενεδήμου.

Μενέδημος νεανίσκου τινὸς εἰπόντος, μέγα ἐστὶν τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμεῖ, εἶπε· πολλῷ μεῖζόν ἐστι τὸ μηδὲ ἐπιθυμεῖν ὧν μὴ δεῖ.

Σολομῶντος.

Σολομῶν εἴρηκε· στολισμὸς γὰρ ἀνδρὸς, βῆμα ποδὸς, καὶ γέλως ὀδόντων ἀναγγελεῖ τὰ ἀνθρώπινα.

Χρυσοστόμου.

Οὐκ ἄρα τὸ δοῦναι ἐλεημοσύνην, ἀλλὰ τὸ ὡς χρὴ δοῦναι, καὶ διὰ τοῦτο δοῦναι.

Universidad de Deusto Biblioteca



Τοῦ αὐτοῦ.

Ὡς εἴγε μιᾶς ἡμέρας μόνον μετὰ ἀκριβείας τὰ ἁμαρτήματα ἡμῶν ἐλεγχόμεθα, τότε ἂν ἐγνώμεν καλῶς πόσων ἂν εἴημεν ὑπεύθυνοι κακῶν.

ΤΕΛΟΣ ΣΥΝ ΘΕΩΙ ΚΑΙ ΜΟΥσαις τῶν φιλοσόφων γνωμῶν.

# ΚΕΦΑΛΑΙΑ ΤΩΝ ΓΝΩΜΩΝ ΤΩΝ ΕΚ ΔΙΑΦΟΡΩΝ ποιητῶν, κατὰ στοιχεῖον συντεταγμένων.

lo qual lo tengo en otro mi libro de c[?] ero y leandro


Εἰς ἀγαθοὺς
Εἰς ἀλήθειαν
Ἁμαρτίαν
Ἀνάγκην
Ἀρετὴν
Ἀχαριστίαν

Β
Βασιλέα
Βίον
Βοήθειαν
Βουλὴν

Γ
Γάμον
Γέλωτα
Γῆρας
Γονεῖς
Γυναῖκα

Δ
Δῆμον
Δίκαιον
Δόξαν
Δούλους
Δυστυχίαν

Ε
Ἐγκράτειαν
Ἐλπίδας
Ἔπαινον
Εὐγενῆ
Εὐτυχίαν
Εὐσέβειαν
Εὐχὴν
Ἔρωτα
Ἔχθραν







Ζ
Ζωὴν

Η
Ἡδονὴν

Θ
Θάνατον
Θεὸν

Ι
Ἰατρούς

Κ
Καιρὸν
Κάλλος
Κέρδος
Κρίσιν καὶ θείαν δίκην
Κρύφια

Λ
Λιμὸν
Λόγον
Λύπην

Μ
Μέθην
Μέλλον
Μετάνοιαν
Μετριότητα
Μητρυιὰν

Ν
Νεότητα
Νόμους

Ξ
Ξένους

Ο
Ὅρκον
Ὀργὴν

Π
Παῖδας
Παιδείαν
Παραίνεσιν
Πενίαν
Πίστιν
Πλεονεξίαν
Πλοῦτον
Πολυπραγμοσύνην
Πονηροὺς
Προσοχὴν

Σ
Σιωπὴν
Συνείδησιν

Τ
Τέχνην
Τιμὴν
Τόλμαν
Τύχην

Υ
Ὕβριν
Ὑγείαν
Ὑπερηφάνειαν
Ὕπνον
Ὑπομονὴν

Φ
Φθόνον
Φίλους
Φιλοπονίαν
Φρόνησιν
Φύσιν

Χ
Χρόνον
Χρέος

Ψ
Ψεῦδος
Ψόγον
Ψυχὴν


τέλος.

Universidad de Deusto
Biblioteca



# ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ ΕΚ διαφόρων ποιητῶν.

Εἰς ἀγαθοὺς ἄνδρας.

ΑΝὴρ δὲ χρηστὸς, χρηστὸν οὐ μισεῖ ποτέ.
Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.
Ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ δίδωσι θεός.
Ζήλου τὸν ἐσθλὸν ἄνδρα, καὶ τὸν σώφρονα.
Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

Εἰς ἀλήθειαν.

Ἡ γλῶσσ᾽ ἁμαρτάνουσα τ᾽ ἀληθῆ λέγει.

Εἰς ἁμαρτίαν.

Αἰσχρὸν δὲ μηδὲν πρᾶττε, μηδὲ μάνθανε.
Δὶς ἐξαμαρτεῖν ταὐτὸν, οὐκ ἀνδρὸς σοφοῦ.
Ἔργων πονηρῶν χεὶρ ἐλευθέραν ἔχε.
Ὁ μηδὲν εἰδὼς, οὐδὲν ἐξαμαρτάνει.

Εἰς ἀνάγκην.

Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχὺ,
Ὑπὸ τῆς ἀνάγκης πολλὰ ποιοῦμεν κακά.

Εἰς ἀρετήν.

Ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία.
Ἃ μὴ προσήκει μήτ᾽ ἄκουε, μήθ᾽ ὅρα.
Βέλτιόν ἐστι σῶμά γ᾽ ἢ ψυχὴν νοσεῖν.
Εὔτακτον εἶναι τἀλλότρια δειπνοῦντα δεῖ.
Ἐλευθέρου γὰρ ἀνδρὸς τ᾽ ἀληθῆ λέγειν.
Ἐλεύθερον φύλασσε τὸν σαυτοῦ τρόπον.
Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Καρπὸς δ᾽ ἀγαθός ἐστιν εὔτακτος βίος.

l legito εὐτακ-τον idest modes-tum.





Λάβε πρόνοιαν τοῦ προσήκοντος βίου.
Μακάριος, ὅστις μακαρίοις ὑπηρετεῖ.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
Ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.
Ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ κατὰ δύνην.

Εἰς ἀχαριστίαν.

Ἀχάριστος, ὅστις εὖ παθὼν, ἀμνημονεῖ.
Αἰεὶ δ᾽ ὁ πτωχὸς, ἐστὶν ἀχάριστος φύσει.
Ἅμ᾽ ἠλέηται καὶ τέθνηκεν ἡ χάρις.
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
Καλὸν δὲ θησαύρισμα κειμένη χάρις.
Μετὰ τὴν δόσιν, τάχιστα γηράσκει χάρις.
Χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου.
Χάριν χαρίζου, καθ᾽ ὅσον ἰσχύεις ὅμως.
Χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.
Χάριν λαβὼν μέμνησο, καὶ δοὺς ἐπιλάθου.

Εἰς βασιλέα.

Ἀρχῆς τετυχὼς, ἴσθι ταύτης ἄξιος.
Εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.

Εἰς βίον.

Ἀμελοῦντα τοῦ ζῆν, οὐκ ἔνεστ᾽ εὐσχημονεῖν.
Βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον.
Βίος ἐστὶν, ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
Βίος κέκληται δ᾽ ὃς βίᾳ πορίζεται.
Βίος βίου δεόμενος, οὐκ ἔστιν βίος.
Γῆ πάντα τίκτει, καὶ πάλιν κομίζεται.
Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ᾽ ὡς δυνάμεθα.
Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενί.

Universidad de Deusto Biblioteca



Τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις βίος.
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.

Εἰς βοήθειαν.

Ἀνὴρ γὰρ ἄνδρα, καὶ πόλις σώζει πόλιν.
Χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.

Εἰς βουλήν.

Ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων.
Ἀβουλία γὰρ πολλὰ βλάπτονται βροτοί.
Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βουλὴν δὲ παντὸς πράγματος προλάμβανε.
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.
Σύμβουλος ἐσθλὸς, μὴ κακὸς γίγνου φίλοις.
Σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
Σοφή, σοφῶν γὰρ γίγνεται συμβουλία.
Σύμβουλος ἴσθι τῶν ἀγαθῶν, μὴ τῶν κακῶν.

Εἰς γάμον.

Ἄλυπον ἕξεις τὸν βίον χωρὶς γάμου.
Γαμεῖν ὁ μέλλων, εἰς μετάνοιαν ἔρχεται.
Γάμος γὰρ ἀνθρώποισιν εὐκτέον κακόν.
Γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
Δαίμων σεαυτῷ πλουσίαν γήμας ἔσῃ.
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Νόμιζε γήμας δοῦλος εἶναι τοῦ βίου.
Ὁ μὴ γαμῶν ἄνθρωπος, οὐκ ἔχει κακά.
Ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς.
Ὡς τρισκακοδαίμων, ὅστις ὢν πένης γαμεῖ.

Εἰς



Εἰς γέλωτα.

Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
γελᾷ δ' ὁ μωρὸς κἄν τι μὴ γελοῖον ᾖ.

Εἰς γῆρας.

Ἅπαντ' ἀφανίζει γῆρας ἰσχὺν σώματος.
γήρως δὲ φαύλου τίς γένοιτ' ἀνατροπή.
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.
ἥξει τὸ γῆρας πᾶσιν αἰτίαν φέρων.
καλὸν τὸ γηρᾶν, τὸ μὴ γηρᾶν πάλιν.
ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
σκληρὸς ἀνήρ ἐστιν ἐν νέοις γέρων.
πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
φοβοῦ τὸ γῆρας. οὐ γὰρ ἔρχεται μόνον.
χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος.

Εἰς γονεῖς.

Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.
γονεῖς δὲ τίμα καὶ φίλους εὐεργέτει.
ἔλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς.
θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς.
νόμιζε σ' αὐτῷ τοὺς γονεῖς εἶναι θεούς.
πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

Εἰς γυναῖκα.

Βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή.
γυναικὶ πάσῃ κόσμον ἡ σιγὴ φέρει.
γυναικὸς ἐσθλῆς ἐστι σώζειν οἰκίαν.
γυναικὶ κόσμος, ὁ τρόπος κ' οὐ χρυσία.
γυνὴ δικαία τοῦ βίου σωτηρία.

Universidad de Deusto
Biblioteca



γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.
γυναικὶ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον.
γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.
γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.
γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.
ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
θηρῶν ἁπάντων ἀγριωτέρα κακὴ γυνή.
θάλασσα καὶ πῦρ καὶ γυνή, κακὰ τρία.
ἱστοὶ γυναικῶν ἔργα, κ' οὐκ ἐκκλησίαι.
ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
ἴσον λεαίνης καὶ γυναικὸς ὠμότης.
καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
καλὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή.
λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή.
λέοντι συζῆν ἢ γυναικὶ συμβιοῦν.
μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
νύμφη δ' ἄπροικος οὐκ ἔχει παρρησίαν.
οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς.
πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκεν.
ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.





τερπνὸν κακὸν πέφυκεν ἀνδράσιν γυνή.
ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.
ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον.
χειμὼν κατ' οἴκους ἐστὶν ἀνδράσιν γυνή.
ὡς ἔστ' ἄπιστον ἡ γυναικεία φύσις.

Εἰς δῆμον.

Ἰσχυρὸν ὄχλος ἐστίν, οὐκ ἔχει δὲ νοῦν.

Εἰς δίκαιον.

Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
ἀνήρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν.
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος οὐ βούλεται.
βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ᾖς.
βίου δικαίου γίγνεται τέλος καλόν.
δίκαιος ἴσθ', ἵνα καὶ δικαίων δὴ τύχῃς.
δίκαιος εἶναι μᾶλλον ἢ χρηστὸς θέλε.
δίκαια δράσας, συμμάχου τεύξῃ θεοῦ.
κρίνειν δίκαιον, μὴ τὸ συμφέρον, θέλε.
πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
τρόπος δίκαιος, κτῆμα τιμιώτατον.

Εἰς δόξαν.

Ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν.
καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.

Εἰς δούλους.

deterius nihil
Δούλου δὲ χείρων οὐδὲν οὐδὲ τοῦ καλοῦ.
εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης.
λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.
ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.

Universidad de Deusto
Biblioteca



καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει.
κρεῖσσον τὸ μὴ ζῆν ἐστιν, ἢ ζῆν ἀθλίως.
ὃν γὰρ φιλεῖ θεὸς γ' ἀποθνήσκει νέος.
οὐ πώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν.
τὸ γοῦν θανεῖν, οὐκ αἰσχρόν, ἀλλ' αἰσχρῶς θανεῖν.

Εἰς θεόν.

Θεὸς συνεργῶν, πάντα ποιεῖ ῥᾳδίως.
θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.
ὁ νοῦς γὰρ ἡμῖν ἐστιν ἑκάστῳ θεός.
πάντῃ γάρ ἐστι πάντα τε βλέπει θεός.
τὸ γοῦν τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.

Εἰς ἰατρούς.

ἀδόλεχος. ga // rrulus.
Ἰατρὸς ἀδόλεσχος, νοσοῦντι πάλιν νόσος.
πολλῶν ἰατρῶν εἴσοδός μ' ἀπώλεσεν.

Εἰς καιρόν.

Ἅπαντα καιρῷ χάριν ἔχει ζυγούμενα. vende mijadab'' en su tiempo.
καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
καιρὸς γάρ ἐστι τῶν νόμων κρεῖττον πολύ.
καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα.
πολλῶν ὁ καιρὸς γίγνεται παραίτιος.
πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
τάχιστ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
τὸν καιρὸν εὔχου πάντοτ' ἵλεων ἔχειν.
ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.
ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.

Εἰς κάλλος.

Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
ὡς ἡδὺ κάλλος ὅταν ἔχῃ νοῦν σώφρονα.

Εἰς



Εἰς κέρδος.

Βίον πόριζε πανταχόθεν, πλὴν ἐκ κακῶν.
βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
βέλτιστε μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
ζήτει συνάγειν ἐκ δικαίων τὸν βίον.
ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν.
κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.
κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.
τὸ κέρδος ἡγοῦ κέρδος ἂν δίκαιον ᾖ.
τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

Εἰς κρίσιν καὶ εἰς τὴν θείαν δίκην.

Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.
ἀνεξέταστον μὴ κόλαζε μηδένα.
ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.
ἔστι δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ.
θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.
ὀξὺς θεοῦ δ' ὀφθαλμὸς εἰς τὸ πάνθ' ὁρᾶν.

Εἰς κρύφια.

Ἀφεὶς τὰ φανερά, μὴ δίωκε τὰ ἀφανῆ.
ἢ μὴ ποίει τὸ κρυπτόν, ἢ μόνος ποίει.
ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.

Εἰς λιμόν.

Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.
λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.
πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

Εἰς λόγον.

Ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου.

λόγος

Universidad de Deusto
Biblioteca



Λόγος γάρ ἐστι λύπης φάρμακον μόνος.
Λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ.
Χωεὶς τότ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε.
Λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος.
Λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ.
Μέγιστόν ἐστιν ὀργῆς φάρμακον λόγος.
Ὁ λόγος ἰατρός ἐστι τοῦ κατὰ ψυχὴν πάθους.
Ῥῆμα παρὰ καιρὸν ῥηθὲν, ἀναστρέπει βίον.
Ῥίψας λόγον τις, οὐκ ἀναιρεῖται πάλιν.
Ψυχῆς νοσούσης, ἐστὶ φάρμακον λόγος.

Εἰς λύπην.

Ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου.
Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.
Βιοῦν ἀλύπως θνητὸν ὄντ', οὐ ῥᾴδιον.
Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.
Πλοίου λιμὴν μὲν, ἀλυπία δ' ὅρμος βίου. :portus.
Οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν.
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.

εἰς μέθην.

Καλὸν τὸ νήφειν, ἢ τὸ πολλὰ κραιπαλᾶν.
Ὁ πολὺς ἄκρατος, μικρὰ ἀναγκάζει φρονεῖν.

εἰς τὸ μέλλον.

Θνητὸς πεφυκὼς, τοὐπίσω πειρῶ βλέπειν.
Μαίνει δ' ἑκάστῳ τοῦθ' ὅπερ μέλλει παθεῖν.
Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.
Οὐδεὶς τὸ μέλλον ἀσφαλῶς βουλεύεται.





Εἰς μετάνοιαν.

Ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

Εἰς μετριότητα.

Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.
Βούλου δ' ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνον.
Εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.
Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις.
Ἴσος μὲν ἴσθι πᾶσι, κἂν προὔχῃς βίῳ.
Σωτηρίας σημεῖον, ἥμερος τρόπος.
Τὸ γνῶθι σαυτὸν πανταχοῦ ἐστι χρήσιμον.

Εἰς μητρυιάν.

Δεινότερον οὐδὲν ἄλλο μητρυιῆς κακόν.

Εἰς νεότητα.

Ἀκμὴ τὸ σύνολον οὐδὲν ἄνθους διαφέρει.
Μέμνησο νέος ὢν, ὡς γέρων ἔσῃ ποτέ.
Νέος πεφυκὼς, πολλὰ χρηστὰ μάνθανε.
Νέῳ δὲ σιγᾶν μᾶλλον ἢ λαλεῖν πρέπει.
Νέος ὢν, ἀκούειν τῶν γεραιτέρων θέλε.

Εἰς νόμους.

Ἰσχυρὸν ὁ νόμος ἐστὶν, ἢν ἄρχοντ' ἔχῃ.
Νόμῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.
Βίας παρούσης, οὐδὲν ἰσχύει νόμος.
Ῥήτωρ πονηρὸς τοῖς νόμοις λυμαίνεται.

Εἰς ξένους.

Ξένους πένητας μὴ παραδράμῃς ἰδών.
Ξένοις ἐπαρκῶν, τῶν ἴσων τεύξῃ ποτέ.
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.
Ξένοισι πιστοῖς πιστὸς ὢν γίγνου φίλος.

Universidad de Deusto Biblioteca



Ξένον ἀδικήσεις, μηδέποτε καιρὸν λαβών.
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
Ξένος ὢν ἀπράγμων, ἴσθι καὶ πράξεις καλῶς.
Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
Ξένον δὲ, σιγᾶν κρεῖττον ἢ κεκραγέναι.
Ξένος πεφυκὼς, τοὺς ξενοδόχους σέβου.
Ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ' ἔσῃ.
Γλαύκη βίον τίθησι σωφρονέστερον.

Εἰς ὅρκον.

Ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
Θεὸν ἐπιορκῶν, μὴ δόκει λεληθέναι.
Ὅρκον δὲ φεῦγε, κἂν δικαίως ὀμνύῃς.

Εἰς ὀργήν.

Ἄνθρωπος ὤν, γίγνωσκε τῆς ὀργῆς κρατεῖν.
Γίγνου δ' εἰς ὀργὴν μὴ ταχύς, ἀλλὰ βραδύς.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
Ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατῇς.
Θυμοῦ κρατῆσαι κἀπιθυμίας, καλόν.
Νίκησον ὀργὴν, τῷ λογίζεσθαι καλῶς.
Ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
Ὀργὴ φιλούντων μικρὸν ἰσχύει χρόνον.
Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
Φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.

Εἰς παῖδας.

Αὐθαίρετος λύπ' ἐστὶν ἡ τέκνων σπορά.
Μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν.
Μακάριος, ὅστις εὐτύχησεν εἰς τέκνα.
Στύλος γ' οἴκου, παῖδές εἰσιν ἄρρενες.

Φιλίας



Φιλίας μέγιστος δεσμός, αἱ τέκνων γοναί.

Εἰς παιδείαν.

Ἀναφαίρετον κτῆμ' ἐστὶ παιδεία βροτοῖς.
Ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
Βραβεῖον ἀρετῆς ἐστιν εὐπαιδευσία.
Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.
Γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν.
Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
Βακτηρία γάρ ἐστι παιδεία βίου.
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
Καὶ τοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
Καλὸν δὲ καὶ γέροντι μανθάνειν σφόδρα.
Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
Ὁ γράμματ' εἰδὼς, καὶ πλεῖον νοῦν ἔχει.
Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.
Ὁ μὴ δαρεὶς ἄνθρωπος, οὐ παιδεύεται.
Ὁ γραμμάτων ἄπειρος, οὐ βλέπει βλέπων.
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
Σοφοῖς ὁμιλῶν, κ' αὐτὸς ἐκβήσῃ σοφός.
Σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς.
Σοφῷ παρ' ἀνδρὶ πρῶτον εὑρέθη λόγος.
Σοφὸς γὰρ οὐδεὶς, ὃς τὰ πάντα προσκόπει.
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.
Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ.

Εἰς παραίνεσιν.

Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί.
Αὐτοὶ δ' ἁμαρτάνοντες, οὐ γιγνώσκομεν.

 Εἰς

Universidad de Deusto
Biblioteca



Εἰς πενίαν.

Πενία δ' ἀγνώμονας γε τοὺς πολλοὺς ποιεῖ.
Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς.
Λεπτῶς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρῶς κακῶς.
Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Πενίαν φέρειν, οὐ παντός, ἀλλ' ἀνδρὸς σοφοῦ.
Πένητας ἀργοὺς οὐ τρέφει ῥαθυμία.
Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
Πενίαν φέρειν, καὶ γῆρας, ἐστὶ δύσκολον.
Οὐδὲν πενίας βαρύτερόν ἐστι φορτίον.
Τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.

Εἰς πίστιν.

Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.

Εἰς πλεονεξίαν.

Ἰσότητα δ' αἱροῦ, πλεονεξίαν φύγε.
Κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

Εἰς πλοῦτον.

Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
Ἐὰν δ' ἔχωμεν χρήματ', ἕξομεν φίλους.
Ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
Μέμνησο πλουτῶν, τοὺς πένητας ὠφελεῖν.
Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺ πένης γένῃ.
Πλούτῳ πεποιθὼς ἄδικα, μὴ πειρῶ ποιεῖν.
Ῥᾴθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.
Οὐδεὶς ἐπλούτησε ταχέως, δίκαιος ὤν.
Χρυσὸς δ' ἀνοίγει πάντα, κ' ᾄδου πύλας.

Εἰς πολυπραγμοσύνην.

Πολυπραγμονεῖν τ' ἀλλότρια μὴ βούλου κακά.

Πολλοὶ



Πολλοὶ χολὴν ἄγουσιν εἰς τὰ χείρονα.
Τὸ πολλὰ πράττειν, ἐστὶ πανταχοῦ σαπρόν.
Τὸ πολλὰ πράττειν, καὶ λύπας πολλὰς ἔχει.

Εἰς πονηρούς.

Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.
Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί.
Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία. - - - - *συλλογίζω · computo · concludo · colligo ratione subducta.*
Ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
Δύσμορφος εἶναι μᾶλλον, ἢ καλὸς κακός.
Τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
Ἦθη πονηρὰ τὴν φύσιν διαστρέφει.
Θεοῦ δ' ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
Κακοῖς ὁμιλῶν, καὐτὸς ἐκβήσῃ κακός.
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
Κακῷ σὺν ἀνδρὶ μηδ' ὅλως ὁδοιπόρει.
Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.
Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί. — *hec verba habent in prima epistola pauli ad corinth. cap. 15.*
Φασὶν κακίστους οἱ πονηροὶ τοὺς καλούς.
Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
Ὡς ἔργον εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.
Ὡς πάντα τιμῆς ἐστι πλὴν κακοῦ τρόπου.

Εἰς προσοχήν.

Εἰ μὴ φυλάσσεις μικρά, ἀπολεῖς τὰ μείζονα.
Τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.

Εἰς σιωπήν.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.

 Γλώσσης

Universidad de Deusto
Biblioteca



Γλώσσης ματαίας ζημία προσέρχεται.
Διὰ δὲ σιωπῆς πικρότερον κατηγορεῖ.
Ἐνίοις τὸ σιγᾶν, ἐστὶ κρεῖττον τοῦ λέγειν.
Εὐκαταφρόνητόν ἐστι σιγηρὸς τρόπος.
Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
Ἢ λέγε, τί σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
Πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει.
Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
Ἢ δεῖ σιωπᾶν, ἢ λέγειν ἀμείνονα.
Κρεῖττον σιωπᾶν, ἢ λαλεῖν, ἃ μὴ πρέπει.
Οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.
Σιγὴ ποτ' ἐστὶν αἱρετωτέρα λόγου.
Οὐ δεῖ σιωπᾶν καὶ λαλεῖν ὅπου χρεών.

Εἰς συνείδησιν.

Συνείδησις πλήττει τὴν ψυχήν.
Βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.

Εἰς τέχνην.

Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη
Τύχη τέχνην εὕρηκας, οὐ τέχνη τύχην.

Εἰς τιμήν.

Τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

Εἰς τόλμαν.

Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
Ἔστι τὸ τολμᾶν, ὦ φίλ' ἀνδρὸς οὐ σοφοῦ.
Προπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
Τὸ πολλὰ τολμᾶν, πόλλ' ἁμαρτάνειν ποιεῖ.

Εἰς τύχην.

Ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης.
Βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.





Δοὺς τῇ τύχῃ τὸ μικρόν, ἐκλήψῃ μέγα.
Δυσπαρακολούθητον δὲ πρᾶγμ' ἔσθ' ἡ τύχη.
Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.
Πολλοὺς κακῶς πράσσοντας, ὤρθωσεν τύχη.
Πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
Ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
Στρέφει δὲ πάντα τὰν βίῳ μικρὰ τύχη.
Τύχη τὰ θνητὰ πράγματ' οὐκ εὐβουλία.
Ταὐτόματον ἡμῶν κάλλιω βουλεύεται.
Τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.
Χειμὼν μεταβάλλει ῥαδίως εἰς εὐδίαν.
Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη.

Εἰς ὕβριν.

Δύσμοιρος ἴσθι μᾶλλον ἢ κακήγορος.
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
Οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.

Εἰς ὑγείαν.

Οὐκ ἔσθ' ὑγείας κρεῖττον οὐδὲν ἐν βίῳ.
Ὑγεία καὶ νοῦς, ἐσθλὰ τῷ βίῳ δύο.

Εἰς ὑπερηφανίαν.

Ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
Ὅτ' εὐτυχεῖς μάλιστα, μὴ μέγα φρόνει.

Εἰς ὕπνον.

Ὕπνος θανάτου προμελέτησις πέλει.
Ὕπνος δὲ πᾶσίν ἐστιν ὑγεία βίου.
Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
Ὕπνος πέφυκε σώματος σωτηρία.
Ὕπνος δὲ πεῖναν τὴν κακέσχατον δαμᾷ.

Universidad de Deusto
Biblioteca



Εἰς ὑπομονήν.

Ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.
Ἔνεγκε λύπην καὶ βλάβην ἐῤῥωμένως.
Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Νίκα λογισμῷ τὴν προσοῦσαν συμφοράν.
Πειρῶ τύχης ἄγνοιαν εὐχερῶς φέρειν.
Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.
Στεῤῥῶς φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.
Τὴν τῶν κρατούντων μάνθανε φέρειν ἐξουσίαν.
Φρονοῦντός ἐστι ζημίαν ῥᾷον φέρειν.
Φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.

f. omnes cu3 valem9 recta consilia egrotis dam9. dize el Sano al doliente dios te de salud.

Εἰς φθόνον.

Αὐτὸς πονηθεὶς, τοῖς ἔχουσι μὴ φθόνει.

Εἰς φίλους.

Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
Ἅπασιν εὖ πράττουσιν ἥδομαι φίλοις.
Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.
Βέβαιος ἴσθι, καὶ βεβαίως χρῶ φίλοις.
Δεῖ τοὺς φιλοῦντας, πίστιν, οὐ λόγους ἔχειν.
Ἐν τοῖς δὲ δεινοῖς, χρημάτων κρείττων φίλος.
Εὔχου δ' ἔχειν τι κἂν ἔχῃς, ἕξεις φίλους.
Ἐν τοῖς κακοῖς δὲ τοὺς φίλους εὐεργέτει.
Ἴσον θεῷ σου τοὺς φίλους τιμᾶν θέλε.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
Κρίνει φίλους ὁ καιρὸς, ὡς χρυσὸν τὸ πῦρ.
Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
Καλὸν θέαμα δ' ἐστὶν εὖ πράττων φίλος.
Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
Μισοῦντα μίσει, καὶ φιλοῦνθ' ὑπερφίλει.





λίαν φιλῶν ἑαυτὸν, οὐχ ἕξεις φίλον.
μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.
μακάριος, ὅστις ἔτυχε γενναίου φίλου.
μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής.
νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
οὐκ ἔστιν οὐδεὶς, ὅστις οὐχ αὑτὸν φιλεῖ.
ὀργῆς χάριν τὰ κρυπτὰ μὴ 'κφαίνῃς φίλου.
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
πειρῶ φίλοισι μὴ κακὸς εἶναι φίλος.
πολλοὶ τραπέζης, οὐκ ἀληθείας φίλοι.
τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ προΐδῃς.
φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
φίλου τρόπους γίνωσκε, μισήσεις δὲ μή.
Μὲν. φίλους με βλάπτων, οὐδὲν ἐχθροῦ διαφέρεις.
φίλους ἔχων, νόμιζε θησαυροὺς ἔχειν.
φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.
φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.

Εἰς φιλοπονίαν.

Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον. . esto.
ἐν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
φιλόπονος ἴσθι, καὶ βίον κτήσῃ καλόν.
ὡς ἡδὺ τοῖς σοφοῖσι μεμνῆσθαι πόνων.
ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά. f. ociu3 · ἡ σχολή.
id est mala. αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα.

Εἰς φρόνησιν.

Ἀγαθὸν μέγιστον ἡ φρόνησις ἔστ' ἀεί.

Universidad de Deusto
Biblioteca



ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
ἄριστόν ἐστι πάντ' ἐπίστασθαι καλά.
ἂν εὖ φρονῇς τὰ πάντα γ', εὐδαιμονήσῃ.
ἀεὶ κράτιστόν ἐστι τ' ἀσφαλέστατον.
ἔνιοι κακῶς φρονοῦσι, πράττουσιν καλῶς.
ἐμπειρία δὲ τῆς ἀπειρίας κρατεῖ.
βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.
ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
ἥδιστόν ἐστιν εὐτυχοῦντα, νοῦν ἔχειν.
μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.
νοεῖν γάρ ἐστι κρεῖττον ἢ σιγὴν ἔχειν.
σοφὸς πεφυκώς, φεῦγε τὴν κακηγορίαν.
ὁ παρ' ἡλικίαν νοῦς, μῖσος ἐξεργάζεται.
οὐδεὶς ὃ νοεῖς οἶδεν, ὃ δὲ ποιεῖς βλέπει.
οὐ πανταχοῦ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
τὸ μηδὲν εἰκῇ, πανταχοῦ ἐστι χρήσιμον.
ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
ὡς οὐδὲν ἡ μάθησις, ἢν μὴ νοῦς παρῇ.

Εἰς φύσιν.

Ἡδοῦντα πάντα καὶ νομίζεται φύσις.
ἡ φύσις ἑκάστου γοῦν γένους ἐστὶν πατρίς.
ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον.

cęlũ nõ animũ mutant qui trãs mare currunt. oratio.:-

Εἰς χρόνους.

Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει.
σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.

χρόνος



χρόνος δίκαιον ἄνδρα δεικνύει μόνος.
χρόνος δ' ἀναιρεῖ πάντα, καὶ λήθην ἄγει.

Εἰς χρέος.

Λαβὼν ἀπόδος ἄνθρωπε, καὶ λήψῃ πάλιν.
τὰ δάνεια, δούλους τοὺς ἐλευθέρους ποιεῖ. //el q̃ debe es esclavo // de su acreedor.

Εἰς ψεῦδος.

Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
ψευδὴς διαβολὴ τὸν βίον λυμαίνεται.
ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.

Εἰς ψόγον.

Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος.
νικᾷ γοῦν ἀεὶ διαβολὴ τὰ κρείττονα.
τοῦ αὐτοῦ αἰνεῖν καὶ ψέγειν, ἀνδρὸς κακοῦ.

Εἰς ψυχήν.

Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.

ΤΕΛΟΣ ΤΩΝ ΓΝΩΜΩΝ.

# ΓΝΩΜΑΙ ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ ΦΙΛΟΣΟΦΩΝ

τε καὶ ῥητόρων συλλεγεῖσαι, κατὰ στοιχεῖον συντεταγμέναι.

## ΠΕΡΙ ΑΙΔΟΥΣ.

Εὐριπίδου.

Πότνι' αἰδὼς εἴθε τοῖς πᾶσι βροτοῖς
συνοῦσα τ' ἀναίσχυντον ἐξῄρου φρενῶν.

Τοῦ αὐτοῦ.

Βούλομαι σ' εἰπεῖν εὖ βραχέα μὴ λίαν.
ἄνω βλέφαρα πρὸς τ' ἀναιδὲς ἀγαιῶν,
ἀλλὰ σωφρονέστερος ὡς ἀδελφὸν ὄντα.

αἰνῆς

ἀνὴρ γὰρ ὢν χρηστός, χρηστὸν αἰδεῖσθαι φιλεῖ.

Τοῦ αὐτοῦ.

Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον.

Θεόγνιδος.

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδως.

Ἀγάθωνος.

Ἀδικεῖν νομίζων, ὄψιν αἰδοῦμαι φίλων.

Στασίμου ἐκ τῶν Κυπρίων.

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν. ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος.

Λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας,
Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν. ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.
πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους καὶ πενίας, καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιέναι μέν· αἰδεῖσθαι δὲ μηδὲν ταῦτα, ἃ δεδίασιν. οὐ καὶ σοὶ δοκεῖ; πάνυ γε. ἀλλ' ἵνα γε αἰδώς, ἔνθα καὶ δέος εἶναι. ἐπεὶ ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα, καὶ αἰσχυνόμενος, οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; δέδοικε μὲν οὖν. οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. ἀλλ' ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος. οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς. ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς. μόριον γὰρ αἰδὼς δέους· ὥσπερ ἀριθμοῦ περιττόν. ὥστε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν, ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός.

Δημοσθένους.

Φαῦλον καὶ μόνος ὤν, μήτε λέξῃς, μήτ' ἐργάσῃ. μάνθα-
δὲ



δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

Πυθιάδος.

Πυθιὰς ἡ Ἀριστοτέλους θυγάτηρ ἐρωτηθεῖσα, ποῖον κάλλιστον χρῶμα, ἔφη· τὸ διὰ τὴν αἰδῶ τοῖς ἐλευθέροις ἐπιγιγνόμενον.

Σωπάτρου.

Αἰδοῦ πρὸς τὰς διημαρτημένας τῶν πολλῶν ἀποβλέπειν δόξας. τὸν δ' ἀπὸ τῆς ἀληθείας λόγων παιδευτὴν ἐπίπροσθεν ἄγε, καὶ οὔτε φαινομένην εὐπρέπειαν μετὰ βλάβης τῶν ἀρχομένων αἱρεῖσθαι, οὔτε δοκοῦσαν ἀδοξίαν ἐπ' ὠφελείᾳ τῶν ὑπηκόων φεύγειν. εἰ μὴ τῆς τυχούσης φαντασίας, ἀλλὰ τῆς ἀρίστης ζωῆς μεταποιεῖσθαι μέλλοιμεν.

Πυθαγόρου.

Θέλε μᾶλλον τοὺς συνόντας σοι αἰδεῖσθαί σε ἢ φοβεῖσθαι· αἰδοῖ μὲν γὰρ πρόσεστιν σέβας, φόβῳ δὲ μῖσος.

Θεοφράστου.

Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ.

## ΠΕΡΙ ΑΝΑΙΔΕΙΑΣ.

Θεόγνιδος.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν.
αὐτὰρ ἀναιδείη γαῖαν ἐπέρχεθ' ὁμῶς.

Εὐριπίδου.

Οὔτοι θάρσος τόδ' ἐστὶν οὐδ' εὐτολμία,
φίλον κακῶς δράσαντ' ἐναντίον βλέπειν.
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν ἀναίδεια. εὖ δ' ἐποίησας μολών.

Θεογόνου.

Ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ.

καὶ

Universidad de Deusto
Biblioteca



καὶ πρὸς τέλος τὴν ἔρχεται τὰ τοῦ χρόνου.
πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνον.
αὕτη δ᾽ ὅσῳ περ αὔξεται θνητῶν γένος,
τοσῷδε μείζων γίνεται καθ᾽ ἡμέραν.

Μενάνδρου.

Ὦ μεγίστη τῶν θεῶν νῦν οὖσ᾽ ἀναίδεια,
εἰ θεὸν καλεῖν σε δεῖ. δεῖ δέ.
τὸ κρατοῦν γὰρ νομίζεται θεός.
ἐφ᾽ ὅσον βαδίζεις; ἐφ᾽ ὅσον ἥξειν μοι δοκεῖς;

Ἡροδότου.

Ἅμα δὲ χιτῶνι ἐκδυομένῳ, ἐκδύεται καὶ τὴν αἰδῶ γυνή.

Ξενοφῶντος.

Ἕπεσθαι δὲ δεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντίαν. καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρά.

ΠΕΡΙ ΑΔΙΚΙΑΣ.

Μενάνδρου.

Ὅστις ὑπέχει χρυσίῳ τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βούλεται.

Τοῦ αὐτοῦ.

Οὐδεὶς ἐπλούτησε ταχέως, δίκαιος ὤν.

Τοῦ αὐτοῦ.

Ἔργον εὑρεῖν συγγενῆ πένητός ἐστιν.
οὐδεὶς γὰρ ὁμολογεῖ αὐτῷ προσήκειν,
τοῦ βοηθείας τινὸς δεομένου.
αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ.

Τοῦ αὐτοῦ.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν.

οἱ γὰρ



οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
ἀποτυγχάνουσι πολλάκις νικώμενοι.
τὰ δ᾽ ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Θεοδέκτου.

Ὦ καλλιφεγγὴ λαμπάδ᾽ εἰλίσσων φλογὸς
ἥλιε, ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας,
εἶδές τιν᾽ ἄλλων πώποτ᾽ εἰς οὕτω μέγαν
ἐλθόντ᾽ ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν;
ὅπου κατηγορεῖ μὲν οἱ λόγοισί μου
γυνή. πρὸς ὃν δ᾽ εἴρηκε τυγχάνει πόσις.
κρατοῦσι δ᾽ οἵπερ καὶ κατηγοροῦσί μου.

Διφίλου.

Ἄρ᾽ ἐστὶν ἀνοητότατον αἰσχροκέρδεια.
πρὸς τὸ λαβεῖν γὰρ ὢν ὁ νοῦς τ᾽ ἄλλ᾽ οὐχ ὁρᾷ.

Τοῦ αὐτοῦ.

Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν. φιλαργυρία τοῦτ᾽ ἐστὶν, ὅταν ἀφῇς σκοπεῖν τὰ δίκαια, τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖ.

Εὐριπίδου.

Ὅστις γὰρ ἐπὶ τὸ πλέον ἔχειν πέφυκ᾽ ἀνήρ,
οὐδὲν φρονεῖ δίκαιον, οὐδὲ βούλεται.
φίλοις τ᾽ ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

Τοῦ αὐτοῦ.

Βίαν νῦν ἕλκετ᾽, ὦ κακοὶ, τιμὰς βροτοὶ,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι.
σύμμικτα μὴ δίκαια, καὶ δίκαι᾽ ὁμοῦ.
ἔπειτ᾽ ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

Τοῦ αὐτοῦ.

Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.

Ἀεὶ σο-

Universidad de Deusto Biblioteca

Ἀριστοφάνους.

Οἱ δημόσια γὰρ μισθοφοροῦντες χρήματα,
ἴδια σκοπεῖσθ' ἕκαστος ὅ,τι τις κερδανεῖ.
τὸ δὲ κοινὸν ὥσπερ, σιμὸς κυλίνδεται.

κοίμος - q. est // pressum ... vel declivi si // in loco dicatur. // κυλίνδεται. // volvitur.

Ἡσιόδου.

Νήπιοι οὐδ' ἴσασι πλέον ὅσον ἥμισυ παντός.
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

Τοῦ αὐτοῦ.

Χρήματα δ' οὐχ ἁρπακτὰ θεόσδοτα πολλὸν
ἀμείνω.

Μενάνδρου.

Λέγεις. ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις.

Εὐριπίδου.

Ἀδίκως δὲ μὴ κτῶ χρήματ', ἢν βούλει πολὺν
χρόνον μελάθροις ἐμμένειν· τὰ δ' ἀδίκως,
οἴκοις εἰσελθόντ' οὐκ ἔχει σωτηρίαν.

Ὑπερίδου.

Ἀρχομένων δεῖ τῶν ἀδικημάτων ἐμφράσσειν τὰς ὁδούς. ὅταν δ' ἅπαξ ῥιζωθῇ κακία, καὶ παλαιὰ γένηται, καθάπερ σύντροφος ἀῤῥωστία, χαλεπὸν κατασβέσαι.

Ἱέρακος.

Ἀρκοῦ τοῖς σαυτοῦ, καὶ μὴ διάρπαζε τὰ πλησίον. μηδ' αὖ προΐεσο τῶν σῶν ὡς κατὰ τοῦτο πλεονεκτῶν.

Κλειτάρχου.

Ἀγωνιζόμενος ὑπὲρ οὗ ἀδίκως ἔπραξας, δὶς ἀδικήσεις.

Δημοκρίτου.

Ἀγαθὸν οὐ τὸ μὴ ἀδικέειν, ἀλλὰ τὸ μὴ ἐθέλειν.

Ἡρο-



Ἡροδότου ἱστορίας ζ.

Ἐγὼ μὲν ὦ βασιλεῦ οἷα ἄνθρωπος ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πράγματα ὑπὸ ἡσσόνων, οὐκ ἐῶ σε τὰ πάντα τῇ ἡλικίῃ ἥκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν.

Σιμωνίδης παρακαλοῦντος τινὸς ἐγκώμιον ποιῆσαι, καὶ χάριν ἕξειν λέγοντος, ἀργύριον δὲ μὴ διδόντος, δύο, εἶπεν, οὕτως ἔχω κιβωτούς, τὴν μὲν χαρίτων, τὴν δὲ ἀργυρίου. καὶ πρὸς τὰς χρείας τὴν μὲν τῶν χαρίτων κενὴν εὑρίσκω, ὅταν εὑρίσκω· τὴν δὲ χρησίμην μόνην.

Ἀντισθένους.

Φιλάργυρος οὐδεὶς ἀγαθὸς, οὔτε βασιλεὺς, οὔτε ἐλεύθερος.

Δημονίκου.

Χρημάτων ὄρεξις ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη. μέζονες γὰρ ὀρέξεις, μέζονας ἐνδείας ποιεῦσιν.

Ἐκ τῶν Ἀρίστωνος.

Ἀριστοτέλης ἔφη, ὅτι ὀκτώ τινες κοινῇ λῃστεύοντες, ἐστασίασαν πρὸς ἀλλήλους περὶ σκύλων, καὶ τέσσαρες αὐτῶν κατελείφθησαν. πάλιν οὗτοι πρὸς ἀλλήλους διηνέχθησαν, καὶ δύο κατελείφθησαν, εἶτα εἷς, καὶ τί ὑπόλοιπον, ἢ στασιάσει τὰ δεξιὰ πρὸς τὰ εὐώνυμα;

Σωκράτους.

Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν.

Δημοσθένους.

Ἐλπὶς κακοῦ κέρδους, ἀρχὴ ζημίας.

Σιμωνίδης ἐρωτηθεὶς, διὰ τί ἔχοιτο γῆρως ὤν, φι-

Universidad de Deusto Biblioteca

φθη· ἀποθα// γων· Simile pla// na·39·

λάργυρος εἴη· ὅτι εἶπε βουλοίμην ἂν ἀφθόνως τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων· κατεγνωκὼς τὸ τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον.

Διογένης, τοὺς μεγάλα καὶ ἀθρόα λαμβάνοντας, μεγαλοπτώχους ἐκάλει.

Πλάτωνος.

Πενίαν ἡγητέον εἶναι μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω.

Τοῦ αὐτοῦ.

Ἐσχάτη γὰρ ἀδικία, δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα.

Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν· ὅστις χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον, ὅσα βούλεται λαβεῖν. Δαρεῖος δὲ διελὼν, χρήματα μὲν οὐχ εὗρε. γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν· εἰ μὴ κακὸς ἦς ἀνὴρ, καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.

## ΠΕΡΙ ΑΚΡΑΣΙΑΣ.

Θεόγνιδος.

πλεῦν· πλεῦν// νος· τὸ· pro // πλεῖον· ονος· apud herodotum.

ΠΟλλῶ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη,
ἄνδρας ὅσοι μοίρας πλεῦν ἔθελον ἔχειν.

Τοῦ αὐτοῦ.

ἐχθρόν τοι μεθύοντα μετ' ἀνδράσι νήφοσιν εἶναι,
ἐχθρὸν δ' εἰ νήφων μετὰ μεθύουσι μένη.

Τοῦ αὐτοῦ.

οἶνος πινόμενος πουλὺς κακός. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ' ἀγαθός.

Τοῦ αὐτοῦ.

ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς, οὐδὲ νόου.

μυθεῖται



μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίνεται αἰσχρά,
αἰδεῖται δ' ἔρδων οὐδὲν ὅταν μεθύῃ.
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γινώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην.
ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο, μηδὲ βιάσθω
γαστὴρ· ὥστε κακὸν λάτριν ἐφημέριον.
ἄφρονος ἀνδρὸς ἄγαν καὶ σώφρονος οἶνος ὅταν
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Τοῦ αὐτοῦ.

ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γινώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον.
καὶ μάλα περ πινυτοῦ, κακότητα ἣ πᾶσαν ἐλέγχει,
ὥστε καταισχύνειν καὶ τὸν ἐόντα σοφόν.
οἰνοβαρέω κεφαλὴν ὀνομάκριτε· καί με βιᾶται
οἶνος. ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης
ἡμετέρης. τὸ δὲ δῶμα περιτρέχει, ἀλλ' ἄγ' ἀναστὰς
πειρήσω, μή πως καὶ πόδας οἶνος ἔχῃ.
καὶ νόον ἐν στήθεσι, δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθεὶς, καὶ μέγ' ὄνειδος ἔχω.

Ἐρατοσθένους.

οἶνός τοι πυρὶ ἴσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας
ἔλθῃ· κυμαίνει δ' οἷα λίβυσσαν ἅλα
βορῆς, ἢ νότος. τὰ δὲ κεκρυμμένα φαίνει,
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

Σοφοκλέους.

τί ταῦτ' ἐπαινεῖς; πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ,
ἧσσον μὲν ὀργῆς ἐστὶ, τοῦ δὲ νοῦ κενός.
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην,
ἄκων ἀκούειν, οὓς ἑκὼν εἴπῃ κακῶς.

Universidad de Deusto
Biblioteca



Πανυάσιδος.

ξεῖν᾽ ἄγε δὴ καὶ πῖν᾽ ἀρετὴ νύ τις ἐστὶ καὶ αὐτή.
οὐκ ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ.
εὖ καὶ ἐπισταμένως ἅμα τ᾽ ἄλλον φῶτα κελεύει.
ἶσον τ᾽ ὃς ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ
ὑσμίνας διέπων ταλαπενθέας, ἔνθά τε παῦροι
θαρσαλέοι τελέθουσι, μένουσί τε θοῦρον ἄρηα.
τοῦ μὲν ἐγὼ θέμιν ἶσον κλέος, ὅς τ᾽ ἐν δαιτὶ
τέρπεται παρεών, ἅμα τ᾽ ἄλλον λαὸν ἀνώγει.
οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς, οὐδὲ βιῶναι,
ἀνθρώπιο βίον ταλασίφρονος, ὅς τις ἀπ᾽ οἴνου
θυμὸν ἐρητύσας πίνει ποτὸν ἀλλονεόφρων.
οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ.
ἐσθλὸν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς.
ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος ἀγλαΐης τε,
ἐν δὲ χοροιτυπίης, ἐν δ᾽ ἱμερτῆς φιλότητος,
ἐν δέ τε μὲν θήρης καὶ δυσφροσύνης ἀλεγεινῆς.
τοῦ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ,
πίνειν. μηδὲ βορῇ κεκορημένον ἠύτε γύπα,
ἧσθαι πλημμύροντα λελασμένον εὐφροσυνάων.

Δημονίκου.

Ὑγιείην εὐχαῖς παρὰ θεῶν αἰτέονται ἄνθρωποι. τὴν δὲ ταύτην δύναμιν ἐν ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν. ἀκρασίῃ δὲ τἀναντία πράσσοντες, αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσι γίγνονται.

Πλουτάρχου.

Ἀμαθίην, ὥς φησιν Ἡράκλειτος, καὶ ἄλλως κρύπτειν ἔργον ἐστὶν, ἐν οἴνῳ δὲ χαλεπώτερον. καὶ Πλάτων δέ φησιν, ἐν οἴνῳ ἤθη φανερὰ γίνεσθαι.





Πλάτων.

Οὐ μόνον ὡς ἔοικεν ὁ γέρων δὶς παῖς γένοιτ᾽ ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

## ΠΕΡῚ ἈΛΗΘΕΊΑΣ.

Εὐριπίδου.

Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.
κοὐ ποικίλων δεῖ τἄνδιχ᾽ ἑρμηνευμάτων.
ἔχει γὰρ αὐτὰ καιρόν. ὁ δ᾽ ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.

Πινδάρου.

Ἀρχὰς μεγάλας ἀρετᾶς ὤνασσ᾽ ἀλήθεια,
μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει.

Μενάνδρου.

Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν
ἐν παντὶ καιρῷ, τοῦτ᾽ ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τοῦ βίου πλεῖστον μέρος.

Πλάτων.

Ἀλήθεια πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις. ἧς ὁ γενήσεσθαι μέλλων, μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη. ἵνα ὅτι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. καὶ ἄπιστος, ᾧ φίλον, ψεῦδος.

Πυθαγόρας ἐρωτηθεὶς, τί ποιοῦσιν ἄνθρωποι θεῷ ὅμοιον; ἔφη, ἐὰν ἀληθεύωσιν.

Simile plana // n.156.

Εὐσεβίου.

Ἀλήθειαν νόος ἀσπάζεται, καὶ αἰεὶ αὐτῇ συνοικέει. ἐὼν δὲ ἐν τοῖς ἑωυτοῦ ἀψευδέστατος, ὅμως ἐστὶν ὅτε καὶ ψεῦδος ἀγαθὸν κρίνας, παρέχεται ἐπ᾽ ὠφελείῃ ἀνθρώπων τῶν τοῦτο χρηιζόντων, καὶ ἐπὶ χρηστῷ τοῦ

σφετέρῳ περὶ ἀλγηθησομένων πρὸς αὐτοῦ. τότε γὰρ δὴ μᾶλλον, καὶ οὔποτε ἄλλοτε νόος, καὶ ἐν καιρῷ περὶ αὐτὸς οἶδε, πάντα τἄλλα ψεύδεα ἀπερυκέων, ψεῦδος τὸ τοιοῦτον εἰσφορέεται, ἀπὸ τῶν λοιπῶν ἁπάντων ψευδέων φύσιος, οὐκ ἄλλο εἶδος μεμιμῆσθαι χρησιμώτατον, τέχνη καὶ σοφίη αὐτοῦ τοῦ νόου, τὸ φαῦλον πρῆγμα εὖ ὧδε μετακοσμήσαντος.

ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον.

Ἀλήθεια πρέσω σοὶ καὶ ἐμοὶ πάντων χρῆμα δικαιότατον.

Ὀλυμπιάδος.

Ἀλαθεια θεῶν ὁμόπολις, μόνη θεοῖς συνδιαιτωμένη.

Βακχυλίδου ὑπορχημάτων.

Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν. ἀνδρῶν δ᾽ ἀρετὰν σοφία τε παγκρατὴς τελέθει ἀλήθεια.

Πλουτάρχου.

Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

## ΠΕΡΙ ΑΝΕΞΙΚΑΚΙΑΣ.

Φιλήμονος.

Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερον
ἐστὶ, δύνασθαι λοιδορούμενον φέρειν.
ὁ λοιδορῶν γὰρ ἂν ὁ λοιδορούμενος,
μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Εὐελπίδου.

δυοῖν λεγόντοιν θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

Θεόγνιδος.





οὐ δύναμαί σοι θυμὲ παρέχειν ἄρμενα πάντα.
τέτλαθι. τῶν δὲ καλῶν οὐχὶ σὺ μόνος ἐρᾷς.

Πυθαγόρου.

Μεγάλην παιδείαν νόμιζε, δι᾽ ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν.

Δημοσθένης λοιδορουμένου τινὸς αὐτῷ, οὐ συγκαταβαίνω εἶπεν εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντος ἐστὶ κρείττων.

Πλάτων λοιδορούμενος ὑπό τινος, λέγε, ἔφη, κακῶς, ἐπεὶ καλῶς οὐκ ἔμαθες.

Ἀρίστιππος λοιδοροῦντος αὐτῷ τινὸς, ἔφη· τοῦ μὲν λέγειν κακῶς, σὺ κύριος εἶ· τοῦ δὲ δικαίως ἀκούειν, ἐγώ.

Εὐσεβίου.

Ὀργῆς κρατέειν ἄριστον ἐθίζειν ἑωυτὸν, μάλιστα μὲν καὶ πρὸς τὸ μὴ εὐπετέως πρὸς αὐτῆς συγκινέεσθαι. εἰ δὲ μὴ, ἀλλ᾽ ὥστε γε πάντως μὴ τὸ καταναγκαζόμενον ὑπ᾽ αὐτῆς αὐτίκα, καὶ ἐν ᾧ ἀλγίστῳ ἀποπιμπλάναι.

Δίωνι περὶ ἀκαδημιακῶν ἀπὸ συμποσίου ἀναστρέφοντι παρεπόμενός κακῶς τις ἔλεγεν, καὶ βλασφημίας οὐδὲν ἀπελίμπανεν. ὁ δ᾽ ἡσύχως εἶχεν. ὡς δὲ καὶ ἤδη τὴν οἰκίαν ἦλθεν, μέλλοντι αὐτῷ εἰσιέναι, ὁ λοιδορῶν τί δαὶ ἔφη; πρὸς ὃν εἶπεν ὁ Δίων, οὐδὲ γρύ.

## ΠΕΡΙ ΑΦΡΟΣΥΝΗΣ.

Σοφοκλέους.

Ἀλλ᾽ οἱ κακῶς πράσσοντες, οὐ κωφοὶ μόνον,
ἀλλ᾽ οὐδ᾽ ὁρῶντες εἰσορῶσι τἀμφανῆ.

Εὐελπίδου.

τὸ μηδ᾽ εἰδέναι μηδὲν ὧν ἁμαρτάνεις,



Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca



ἔκπαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.

Ἡσιόδου.

Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται, πρὸς τ' αἴσχεσιν ἄλγεα πάσχει.

Μενάνδρου.

Οὐδεὶς σύνοιδεν ἐξαμαρτάνων πόσον.
ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ' ὁρᾷ.

Θεόγνιδος.

Ὅς τις τοι δοκέει τὸν πλησίον ἔμμεναι οὐδέν,
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστὶ νόου βεβλαμμένος ἐσθλοῦ,
ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα.
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδίῃσιν ἕπεσθαι,
τῶν δὲ δολοπλοκίαι μᾶλλον ἔτ' εἰσὶ φίλαι.

Μενάνδρου.

εὐήθεια μοι φαίνεται δηλουμένη,
τὸ νοεῖν μὲν ὅσα δεῖ, μὴ φυλάττεσθαι δ' ἃ δεῖ.

Τοῦ αὐτοῦ.

Μικρὰ πρόφασίς ἐστι τοῦ πρᾶξαι κακῶς.

Τοῦ αὐτοῦ.

ἄνοια θνητοῖς δυστύχημ' αὐθαίρετον.

Σοφοκλέους.

ὡς δυσπέλαστον ἀμαθία κακόν,
τί σαυτὸν ἀδικεῖν τὴν ψυχὴν καταπιᾷ.

Χαιρήμονος.

πεῖν γοῦν φρονεῖν εὖ, καταφρονεῖν ἐπίσταται.

Σαπφοῦς.

πρὸς ἀπαίδευτον γυναῖκα. κατθανοῖσα δὲ κείσεαι.
οὐδέποτε μναμοσύνα σέθεν ἔσσετ' οὐδέποκ' ὕστερον. οὐ





γὰρ μετέχεις ῥόδων τῶν ἐκ Πιερίας. ἀλλ' ἀφανὴς κἠν ἀΐδα
δόμοις φοιτάσεις παῖδ' ἀμαυρῶν νεκύων ἐκπεποταμένα.

Εὐπόλιδος.

Ἀλλ' ἀκούετ' ὦ θεαταὶ πολλά, καὶ ξυνίετε.
ῥήματ' εὐθὺ γὰρ πρὸς ὑμᾶς πρῶτον ἀπολογήσομαι.
ὅτι μαθόντες τοὺς ξένους μὲν λέγεται κριτὰς σοφούς.
ἢν δέ τις τῶν ἐνθάδ' αὐτοῦ μηδὲν χεῖρον φρονῶν
ἐπιβῆται τῇ κρίσει, πάνυ δοκεῖ κακῶς φρονεῖν.
μαίνεταί τι καὶ παραρρεῖ τὴν φρενῶν τῷ σῷ λόγῳ.
ἀλλ' ἐμοὶ πείθεσθε πάντως μεταβαλόντες τοὺς τρόπους.
μὴ φθονῆθ' ὅταν τις ὑμῶν μουσικῇ χαίρῃ νέων.

Ἀειανοῦ.

Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι πελόμεσθα
ἄνθρωποι. φέρομεν δὲ θεῶν ἑτερόῤῥοπα δῶρα
ἀφραδέῃ κραδίῃ. βιότοιο μὲν ὅς κ' ἐπιδευὴς
στρωφᾶται, μακάρεσσι δ' ἐπὶ ψόγον αἰνὸν ἰάπτει,
ἀχνύμενος. σφετέρην δ' ἀρετὴν καὶ θυμὸν ἀτίζει.
οὐδέ τι θαρσαλέως νοέειν ἔπος, οὐδέ τι ῥέξαι
ἐῤῥίγως, ὅθι τ' ἄνδρες ἐχεκτέανοι παρέωσιν.
καί οἱ θυμὸν ἔδουσι κατηφείη καὶ ὀϊζύς.
ὃς δέ κεν εὐοχθήσῃ, θεὸς δ' ἐπὶ ὄλβον ὀπάζῃ
καὶ πολυκοιρανίην, ἐπιλήθεται οὕνεκα γαῖαν
ποσσὶν ἐπιστείβει, θνητοὶ δέ οἱ εἰσὶ τοκῆες.
ἀλλ' ὑπεροπλίῃ τε καὶ ἀμπλακίῃσι νόοιο
ἶσα Διὶ βρομέει. κεφαλὴν δ' ὑπὲρ αὐχένα ἴσχει.
καί περ ἐὼν ὀλίγος, μνᾶται δ' εὐπήχυν Ἀθήνην,
ἠέ τιν' ἀτραπιτὸν τεκμαίρεται Οὔλυμπον δὲ
ὥς κε μετ' ἀθανάτοισιν ἀρίθμιος εἰλαπινάζῃ.
ἡ δ' Ἄτη ἁπαλοῖσι μετατρωχῶσα πόδεσσιν,

Universidad de Deusto
Biblioteca



ἄκρης ἐν κεφαλῆσιν ἀνώϊστος καὶ ἄφαντος,
ἄλλοτε μὲν γραίῃσι νεωτέρη, ἄλλοτε δ' αὖτε
ὁπλοτέρῃσι γρηῢς ἐφίσταται ἀμπλακίῃσι.
Ζηνὶ θεῶν κρείοντι. δίκη δ' ἐπίηρα φέρουσα.

Μενάνδρου.

Ὁ μὴ φέρων γὰρ εὖ τι τῶν ἐν τῷ βίῳ
ἀγαθῶν, ἀλόγιστός ἐστιν, οὐ μακάριος.

Τοῦ αὐτοῦ.

Οὐκ ἔστ' ἀνοίας, ὡς ἐμοὶ δοκεῖ, τολμηρότερον.

Παροιμία.

ſ adagiuz //tum// - //quam asing ad lyraz// //et Sus ad tubam·

Ὄνος λύρας ἤκουε, καὶ σάλπιγγος ὗς.

Δημοσθένης ὁ ῥήτωρ θεασάμενος τινὰ δημαγωγὸν ἀφυῆ μέγα βοῶντα, ἔφη· ἀλλ' οὐ τὸ μέγα εὖ ἐστι, τὸ δ' εὖ μέγα.

Βίων ἔλεγε τοὺς γραμματικοὺς ζητοῦντας περὶ τῆς Ὀδυσσέως πλάνης, μὴ ἐξετάζειν τὴν ἰδίαν, μηδὲ καθορᾶν ὅτι καὶ ἐν τῷ περὶ τούτῳ πλανῶνται, πονοῦντες περὶ τὰ μηδὲν χρήσιμα.

Ὁ μὲν δειλὸς, τῆς πατρίδος· ὁ δὲ φιλόδοξος, τῆς πατρώας οὐσίας ἐστὶ προδότης.

Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν, ἐν δὲ ταῖς ἀτυχίαις παρακοοῦσιν οἱ ἀνόητοι.

Τοῖς ἄφροσιν, ὥσπερ τοῖς παιδίοις, μικρὰ πρόφασις εἰς τὸ κλαίειν ἱκανή.

Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται.

Ταυτόν ἐστιν ἀρρωστοῦντι φορτίον ἐπιθέσθαι, καὶ ἀπαιδεύτοις εὐτυχίαν.

Λήθη τῶν ἰδίων κακῶν θρασύτητα γεννᾷ.

ἀνοήμονες



Ἀνοήμονες βιοῦσιν, οὐ τερπόμενοι βιοτῇ.

Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος, οὐκ ἀσφαλέα κτήματα.

Σωκράτης ἰδὼν μειράκιον πλούσιον, καὶ ἀπαίδευτον· ἰδοὺ, φησὶ, χρυσοῦν ἀνδράποδον. Simile plana·157·Et-341·

Βίων ἐρωτηθεὶς τί ἐστιν ἄνοια, ἔφη· προκοπῆς ἐμπόδιον. //felicitatis Im// pedimentuz·

## ΠΕΡΙ ΑΠΟΡΡΗΤΩΝ.

Εὐριπίδου.

Ἴστω δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών.
Μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας — ſ promontoriuz
πρήσειεν ἄν τις. κἂν πρὸς ἕνα εἴποις ποτὲ,
πύθοιντ' ἂν ἀστοὶ πάντες, ἃ κρύπτειν χρεών.

Τοῦ αὐτοῦ.

Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας
εἰς πάντας, ἀμαθές· τὸ δὲ κρύπτεσθαι, σοφόν.

Σοφοκλέους.

Μή μοι κρυφαῖον μηδὲν ἐξείποις ἔπος.
κλεῖθρον γὰρ οὐδὲν, ὡς δ' ἂν εὐπετὲς λάβοις
γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

Τοῦ αὐτοῦ.

Μὴ πάντ' ἐρεύνα, πολλὰ καὶ λαλεῖν καλόν.

Σωκράτης ἔλεγεν, ὅτι ῥᾶον ἄν τις διάπυρον ἄνθρακα ἐπὶ τῆς γλώττης κατάσχοι, ἢ λόγον ἀπόῤῥητον.

Εὐριπίδης ὀνειδίζοντος αὐτῷ τινὸς, ὅτι τὸ στόμα δυσῶδες ἦν· πολλὰ γὰρ, εἶπεν αὐτῷ, ἀπόῤῥητα ἐγκατεσάπη.

Ἀριστοτέλης ἐρωτηθεὶς, τί δυσκολώτατον ἐν τῷ βίῳ, εἶπε· τὸ σιωπᾶν ἃ μὴ δεῖ λαλεῖν.

Πυθα-

Universidad de Deusto
Biblioteca



Πυθαγόρου.

Αείδω συνετοῖς, θύρας δ' ἐπίθεσθε βέβηλοι.

Ισοκράτους.

Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας, τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

Χάρης τοὺς ἀπόρρητον λόγον ἐκφέροντας, ἀδικεῖν ἔφη, καὶ πρὸς οὓς ἐκφέρουσι. μισοῦμεν γὰρ οὐ μόνους τοὺς ἐκλαλήσαντας, ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα.

## ΠΕΡΙ ΑΣΩΤΙΑΣ.

Μενάνδρου.

Τοὺς τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον,
τοῦ καλῶς ἀκούειν, ταχὺ ποιεῖ πᾶσι κακῶς.

Πυθαγόρου.

Μὴ δαπανᾶν παρὰ καιρὸν ἀπειροκάλως οἷα ἡμῶν. μηδ' ἀνελεύθερος ἴσθι. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Εὔφρονος διδύμων.

Ο γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον, πῶς οὗτος ἂν σώσειε τὸν ἔξω τινά;

Διφίλου.

Εργον συναγαγεῖν βίον ἐν πολλῷ χρόνῳ, ἐν ἡμέρᾳ δὲ διαφορῆσαι, ῥάδιον.

Σωκράτης ἰδὼν τινὰ προχείρως πᾶσι χαριζόμενον, καὶ ἀνεξετάστως ὑπηρετούμενον, κακῶς, εἶπεν, ἀπόλοιο, ὅτι τὰς χάριτας παρθένους οὔσας, πόρνας πεποίηκας.

ἄσωτος· prodigus-lascivus.

Διογένης ἄσωτον ᾔτει μνᾶν. τοῦ δὲ εἰπόντος, διὰ τί τοὺς ἄλλους τριόβολα, ἐμὲ δὲ μνᾶν ζητεῖς, ἔφη· παρὰ μὲν





τῶν ἄλλων ἐλπίζω πάλιν· παρὰ δὲ σοῦ, οὐκέτι.

Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα, ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν, ἀφ' ὧν ἀνθρώπων μηδένα λαμβάνειν. κόρακας δὲ καὶ ἰκτῖνας, ὥσπερ παρὰ τοὺς τῶν ἑταίρας καὶ κόλακας. milvi.

Ζήνων πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτίας, καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν, ἦ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, διὰ τὸ πλῆθος ἁλῶν αὐτοῖς ὑπάρχειν.

Ξενοφῶντος.

Οὐ γὰρ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ οὕτω χαλεπὸν, ὡς τὸ λαβόντα στερηθῆναι.

Δημοσθένους.

Τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι κτῶνται μὲν τἀγαθὰ, διὰ τὸ καλῶς βουλεύεσθαι, καὶ μηδενὸς καταφρονεῖν. φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις.

## ΠΕΡΙ ΑΦΡΟΔΙΤΗΣ, καὶ ἔρωτος.

Εὐριπίδου.

Τῇ δ' ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα.
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς.
τύχοιμι δ' αὐτῆς ἡνίκ' ἐστὶν εὐμενής.

Τοῦ αὐτοῦ.

Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν,
νοσοῦσ' ὁμοίως τοῖς διώκουσιν ἄγαν.

Τοῦ αὐτοῦ.

Κύπρις γὰρ οὐ φορητὸν ἢν πολλὴ ῥυῇ.

Universidad de Deusto Biblioteca

ἡ τὸ μὲν ἥκουσ' ἡσυχῇ μετέρχεται·
ὃν δ' αὖ πολιαὶ καὶ φρονοῦσ' εὕρῃ μέγα
τύχην λαβοῦσα, οὕτω πῶς κατευθύνεισιν.

Σοφοκλέους.

Ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον,
ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος.
ἔστι μὲν ᾅδης, ἔστι δ' ἄφθιτος βία.
ἔστι δὲ λύσσα μανιάς. ἔστι δ' ἵμερος.
ἄκρατος ἔστ' οἰμωγμός. ἐν κείνῃ τὸ πᾶν.
σπουδαῖον, ἡσύχαιον, εἰς βίαν ἄγον.
ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι
ψυχή, τίς οὐχὶ τῆσδε τῆς θεοῦ βορός;
εἰσέρχεται μὲν ἰχθύων πλωτῶν γένει.
ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ.
νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν.
ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.
τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν.
εἴ μοι θέμις. θέμις δὲ τἀληθῆ λέγειν.
Διὸς τυραννεῖ πλευμόνων ἄνευ δορός.
ἄνευ σιδήρου πάντα τοι συντέμνεται
Κύπρις τὰ θνητῶν καὶ θεῶν βουλεύματα.

Ἐκ τῶν Βίωνος βουκολικῶν.

Ταὶ Μοῖσαι τὸν ἔρωτα τὸν ἄγριον ἢ φοβέοντι
ἢ κ θυμῷ φιλέοντι; καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ,
τῆνον ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν.
ἢν δὲ νόον τις ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγὼν ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀληθής.

ἢν μὲν



ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
καμβαίνει μευ γλῶσσα, καὶ ὡς πάρος οὐκέτ' ἀείδει.
ἢν δ' αὖτ' ἐς τὸν ἔρωτα, καὶ ἐς Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα κατὰ στόματος ῥέει ᾠδά.

Λεισάρχου.

Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν,
οὐκ οἶδ' ἀνάγκης θεσμόν, ᾧ πεισθεὶς
ἐγὼ οὕτω κρατηθεὶς, τὰς δ' ὠθισάμην ὁδούς.
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι, καὶ τὸ ἄπορον εὑρεῖ σκέψιν μέγαν.

Εὐριπίδου.

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν,
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὢν,
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Ἀντιφάνους.

Εἴ τις, φησί, τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
ἦ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος.
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείποιτ' οὐδὲν ἕτερον ἢ τεθνηκέναι.

Ἀλέξιδος.

Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.
εἴπερ μέγιστος ἐστὶ τῶν θεῶν ἔρως,
καὶ τιμιώτατός γε τῶν πάντων πολύ.
οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος, οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους,
ὃς οὐχὶ τούτῳ μερίδα τοῦ θεοῦ νέμει.

Μιμνέρμου.

Universidad de Deusto
Biblioteca



Μιμνέρμου.

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς ἀφροδίτης;
τεθναίην ὅτε μοι μηκέτι ταῦτα μέλοι.

Θεοκρίτου.

Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

Δικαιογένους.

Ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσι,
θᾶσσον θυραίοις τὴν χάριν πιστούμεθα,
ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσι.

Εὐριπίδου.

Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
ἔρωτα πάντων δυσμαχώτατον θεόν.

Τοῦ αὐτοῦ.

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει, κἀπὶ πόντον ἔρχεται.
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεύς. ἀλλ' ὑπείκει, καὶ θέλων ἐγκλίνεται.

Ἐκ τῶν Βίωνος βουκολικῶν.

Ἁ μεγάλα μοι κύπρις ἔθ' ὑπνώοντι παρέστα,
νηπίαχον τὸν ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα,
ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον·
μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν ἔρωτα δίδασκε.
ὣς λέγε. χ' ἁ μὲν ἀπῆλυθεν. ἐγὼ δ' ὅσα βουκολιάσδον
νήπιος ὡς ἐθέλοντα μαθεῖν τὸν ἔρωτα δίδασκον.
ὡς εὗρε πλαγίαυλον ὁ πάν, ὡς αὐλὸν ἀθάνα,
ὡς χέλυν ἑρμάων, κίθαριν ὡς ἁδὺς ἀπόλλων.
ταῦτα μὲν ἐξεδίδασκον. ὁ δ' οὐκ ἐμπάζετο μύθων.





ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
θνατῶν ἀθανάτων τε πόθως καὶ ματέρος ἔργα.
κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν ἔρωτ' ἐδίδασκον.
ὅσσα δ' ἔρως μ' ἐδίδαξεν ἐρωτύλα πάντ' ἐδιδάχθην.

Τοῦ αὐτοῦ.

Ἕσπερε τᾶς ἐρατᾶς χρύσεον φάος ἀφρογενείας,
ἕσπερε κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,
τόσσον ἀφαυρότερον μήνας, ὅσον ἔξοχος ἄστρων,
χαῖρε φίλος, καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι,
ἀντὶ σελαναίας τὺ δίδου φάος. ὥνεκα τήνα
σάμερον ἀρχομένα τάχιον δύεν, οὐκ ἐπὶ φωρὰν
ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντ' ἐνοχλέω.
ἀλλ' ἐράω. καλὸν δέ τ' ἐρασσαμένῳ συνέρασθαι.

Μόσχου σικελοῦ.

Ἤρα πὰν ἀχῶς τᾶς γείτονος, ἤρατο δ' ἀχὼ
σκιρτατᾶ σατύρω, σάτυρος δ' ἐπεμαίνετο λύδᾳ.
ὡς ἀχὼ τὸν πᾶνα, τόσον σάτυρος φλέγεν ἀχώ.
καὶ λύδα σατυρίσκον, ἔρως δ' ἐσμύχετ' ἀμοιβᾷ.
ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα
τόσσον ὁμῶς φιλέων ἐχθαίρετο πάσχε δ' ἀποίαν.
ταῦτα λέγω πᾶσι τὰ διδάγματα τοῖς ἀνεράστοις.
στέργετε τὼς φιλέοντας ἵν' ἢν φιλέητε φιλῆσθε.

Σοφοκλέους.

ἔρωτος γὰρ νόσημα τοῦτ' ἐφίμερον κακόν
ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι.
ὅταν πάγου φανέντος αἰθρίου χεροῖν
κρύσταλλον ἁρπάσωσι παῖδες ἀσταγῆ.
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους,
τέλος δ' ὁ θυμὸς οὔθ' ὅπως ἀφῇ θέλει.

οὔτ᾽ ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένειν·
οὔτε τοὺς δρῶντας αὐτὸς ἵμερος δρᾶν.
καὶ τὸ μὴ δρᾶν, πολλάκις πρόσεστι.

Κλεινίου.

μή τις τιμάτω θνητῶν πολύδακρυν ἔρωτα,
μηδὲ πόθον παίδων, μηδ᾽ ἵμερον τὴν φιλότητα.
τῶν ἰότητι μοιρῶν κατέβη πολύκλαυστον εἰς ἅδην.

Μενάνδρου.

ὅταν δ᾽ ἐρῶντος τόλμαν ἀφέλῃς, οἴχεται.
εἰς τοὺς ἰαλέμους τε τοῦτον ἔγγραφε.

Θεοκρίτου.

νῦν ἔγνων τὸν ἔρωτα, βαρὺς θεός, ἦ ῥα λεαίνης
μαζὸν ἐθήλαξεν, δρυμῷ τέ νιν ἔτραφε μάτηρ.
ὅς με κατασμύχων, καὶ ὀστέων ἄχρις ἰάπτει.

ΨΟΓΟΣ ΑΦΡΟΔΙΤΗΣ, ΚΑΙ
ὅτι φαῦλος ὁ ἔρως.

Μενάνδρου.

Φύσει γάρ ἐστ᾽ ἔρως τοῦ νουθετοῦντος κωφόν.
ἅμα δ᾽ οὐ ῥᾴδιόν ἐστι νεότητα νικᾶν καὶ θεὸν λόγῳ.

Τοῦ αὐτοῦ.

τὸ δ᾽ ἐρᾶν ἐπισκοτεῖ ὡς ἔοικεν,
καὶ τοῖς εὐλόγοις, καὶ τοῖς κακῶς ἔχουσιν.

Τοῦ αὐτοῦ.

μόνον ἐστ᾽ ἀπαρηγόρητον ἀνθρώποις ἔρως.

Εὐριπίδου.

ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἔργοις ἔφυ.
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα:
φεύγει δὲ μόχθους. ἓν δέ μοι τεκμήριον,
οὐδεὶς προσαιτῶν βίοτον, ἠράσθη βροτῶν.





ἐν τοῖς δ᾽ ἔχουσιν ἡβητὴς πέφυκ᾽ ὅδε.

Τοῦ αὐτοῦ.

σὺ δ᾽ ὦ κάκιστε παντὸς θεῶν τε κἀνθρώπων,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν, εὐμενὴς παρίστασο.

Τοῦ αὐτοῦ.

Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ,
ἄν τ᾽ αὖ βιάζῃ μᾶλλον ἐντείνειν φιλεῖ.
κἄπειτα τίκτει πόλεμον. εἰς δ᾽ ἀνάστασιν
δόμων περαίνει πολλάκις τὰ τοιάδε.

Τοῦ αὐτοῦ.

ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη.
τὸ φῶς δ᾽ ἀνάγκην προστίθησι σωφρονεῖν.

Ἀρχιλόχου.

τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς
πολλὴν κατ᾽ ἀχλὺν ὀμμάτων ἔχευεν,
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

Τοῦ αὐτοῦ.

Δύστηνος ἔγκειμαι πόθῳ ἄψυχος,
χαλεπῇσι θεῶν ὀδύνῃσιν ἕκητι
πεπαρμένος δι᾽ ὀστέων.

Φανοκλέους.

Ἢ ὡς οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην.
πολλάκι δὲ σκιεροῖς ἐν ἄλσεσιν ἕζετ᾽ ἀείδων
ὃν πόθον, οὐδ᾽ ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ.
ἀλλ᾽ αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι
ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν.
τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι

Universidad de Deusto
Biblioteca



ἔκταινον εὐήκη φάσγανα θηξάμεναι.
οὕνεκα πρῶτον ἔδειξεν ἐνὶ Θρήκεσσιν ἔρωτας
ἄῤῥενας, οὐδὲ πόθους ἤνεσε θηλυτέρων.
τοῦ δ᾽ ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ᾽ ὑπὴν
εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ.
κύκλῳ καρτύνασαι ἵν᾽ ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
τὰς δ᾽ ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα,
ἠχὴ δ᾽ ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης.
νήσους τ᾽ αἰγιαλοὺς ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν.
οἱ δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας, καὶ φόρκυς πικρὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς
νῆσον ἔχει πασέων ἐστὶν ἀοιδοτάτη.
Θρῇκες δ᾽ ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν
ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος.
ἃς ἀλόχους ἔστιζον, ἵν᾽ ἐν χροῒ σήματ᾽ ἔχουσαι
κυανέα, στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ᾽ Ὀρφῆϊ κταμένῳ, στίζουσι γυναῖκας
εἰσέτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

Ἐκ τῶν Μόσχου.

ἀλφειὸς μετὰ πεῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
ἔρχεται εἰς ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
ἕδνα φέρων φύλλα καὶ ἄνθεα καὶ κόνιν ἱράν,
καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι. τὰν δὲ θάλασσαν
νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ.
ἁ δ᾽ οὐκ οἶδε θάλασσα διερχομένου ποταμοῖο,
κῶρος δεινοθέτας, κακομάχανος, αἰνὰ διδάσκων,

καὶ πο-



καὶ ποταμὸν διὰ φίλτρον ἔρως ἐδίδαξε κολυμβᾶν.

Ῥαδαμάνθυος.

ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου.
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν.
τῷ δ᾽ οὐχὶ τούτου φροντὶς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις.
ἄλλῳ δ᾽ ἀρέσκει μηδὲν ὑγιὲς ἐν φρεσὶν
λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ.
οἱ δ᾽ αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν, οὕτω βίοτος ἀνθρώπων πλάνη.

Θεοφράστου.

Ἔρως δέ ἐστιν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολή, ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν.

Θεόφραστος ἐρωτηθεὶς, τί ἐστιν ἔρως; πάθος, ἔφη, ψυχῆς σχολαζούσης.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Εὐριπίδου.

Δῆμον δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος,
μήτ᾽ αὖ κακώσῃς πλοῦτον ἔντιμον τιθείς.
μηδ᾽ ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτέ,
μηδ᾽ αὖξε καιροῦ μεῖζον· οὐ γὰρ ἀσφαλές,
μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ.
κόλουε δ᾽ ἄνδρα παρὰ δίκην τιμώμενον.
πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.

Τοῦ αὐτοῦ.

ἀλλ᾽ οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,
οὐδ᾽ ἄνδρα χρηστὸν νεῖκος αἴρεσθαι κακοῖς.
τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

ὁ δ᾽ ἥσυχος, φίλοισί τ᾽ ἀσφαλὴς φίλος,
πόλει τ᾽ ἄριστος, μὴ τὰ κινδυνεύματα
αἴνει τ᾽. ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
τολμῶντα λίαν, οὔτε προστάτην χθονός.

Σοφοκλέους.

ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
σὺν ἀνδράσι κάλλιον, ἢ κενῆς κρατεῖν.
ὡς οὐδέν ἐστιν οὔτε πύργος, οὔτε ναῦς
ἔρημος ἀνδρῶν μὴ συνοικούντων πόλιν.

Μενάνδρου.

καλόν γε βασιλεύς, τῇ μὲν ἀνδρείᾳ κρατῶν,
τὰ δὲ τοῦ βίου δίκαια διατηρῶν κρίσει.

Ὁμήρου.

οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται καὶ τόσσα μέμηλε.

Ἡσιόδου.

καλλιόπη τ᾽ ἥδε προφερεστάτη ἐστὶν ἁπασέων.
ἣ γὰρ βασιλεῦσιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ.
ὅν τινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων·
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν προχέουσιν ἀοιδήν,
τοῦ δ᾽ ἔπε᾽ ἐκ στόματος ῥεῖ μείλιχα. οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν. ὁ δ᾽ ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.

Ὁμήρου.

βουλὴν μὲν πρῶτον μεγαθύμων ἷζε γερόντων
λαῶν οἷσιν ἄνασσε, πατὴρ δ᾽ ὣς ἤπιος ἦεν.

οὔτε



οὔτε τινὰ ῥέξας κακὸν ἔξοχον, οὔτε τι εἰπὼν
ἐν δήμῳ, ἥ τ᾽ ἐστὶ δίκη θείων βασιλήων.
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι,
ῥηιδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσι.

Δημοκρίτου.

Φόβος κολακείην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει.

Μουσωνίου.

Οὐ πολὺν διάγουσι χρόνον οἱ πρὸς τοὺς ὑπηκόους ὑπὲρ ὧν ἂν πράττωσι, μὴ τὸ καθήκει μοι λέγειν μεμελετηκότες, ἀλλὰ τὸ ἔξεστί μοι.

Τοῦ αὐτοῦ.

Μὴ θέλε ἐπιτάσσειν τὰ καθήκοντα τοῖς συγγινώσκουσι τὰ μὴ καθήκοντα πράττοντι.

Πυθαγόρου.

Θέλε μᾶλλον τοὺς ζῶντάς σοι αἰδεῖσθαί σε, ἢ φοβεῖσθαι. αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος.

Φίλωνος.

Μετὰ τοῦ ἱλαροῦ τὴν πραότητα σῶζε ἵνα μὴ φοβερός, ἀλλ᾽ αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσι.

Ἰσαίου.

Χρὴ τοὺς νόμους μὲν τίθεσθαι σφοδρούς· πραοτέρως δὲ κολάζειν, ἢ ὡς ἐκεῖνοι κελεύουσιν. — simile pla. 278.

Τῶν ἑπτὰ σοφῶν.

Σόλωνος.

Ἐμοὶ μὲν, ἔφη ὁ Σόλων, δοκεῖ μάλιστ᾽ ἂν ἔνδοξος γενέσθαι ὁ βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειε τοῖς πολίταις.

Βίας.

Universidad de Deusto
Biblioteca



Δεύτερος δὲ Βίας εἶπεν· εἰ πρόσοις χρῷτο τοῖς νόμοις τῆς πατρίδος.

Θαλῆς.

Ἐπὶ τούτων δὲ Θαλῆς ἔφη· εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ τελευτήσειεν γηράσας κατὰ φύσιν.

Ἀνάχαρσις.

Τέταρτος Ἀνάχαρσις, εἰ μὴ μόνος εἴη φρόνιμος.

Κλεόβουλος.

Κλεόβουλος δὲ, εἰ μηδενὶ (ἔφη) πιστεύοι τῶν συνόντων.

Πιττακός.

Ἕκτος δ᾽ ὁ Πιττακός· εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσει φοβεῖσθαι μὴ αὐτὸν, ἀλλ᾽ ὑπὲρ αὐτοῦ.

Χείλων.

Ὕστατος δ᾽ ὁ Χείλων εἶπε κάλλιστον ἂν εἶναι βασιλέα, ὃν μὴ μόνον τοῦ φοβερὸν εἶναι φροντίζοντα.

## ΠΕΡΙ ΒΡΑΧΥΛΟΓΙΑΣ.

Θεόγνιδος.

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύρα οὐκ ἐπίκειται
ἁρμοδίη, καί σφιν πόλλ᾽ ἀλάλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἦλθεν.
ἐσθλὸν δ᾽ ἐξελθεῖν λώϊον ἢ τὸ κακόν.

Ἀστυδάμαντος.

Γλώσσης περίπατός ἐστιν ἀδολεσχία.
ληρεῖς ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

Ὁμήρου.

καί τι ἔπος προέηκεν, ὅπερ ἄρρητόν τ᾽ ἄμεινον.
ἀλλ᾽ αἰεὶ μύθοις λαβρεύεαι, οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι.

Εὐριπίδου.

λαβρεύομαι, arroganter loquor.

σὺ δὲ



Σὺ δ᾽ εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ᾽ οὐκ ἔνεισί σοι φρένες.

Σοφοκλέους.

Τί ταῦτα πολλῶν ῥημάτων ἔτ᾽ ἐστί σοι,
τὰ γὰρ περισσὰ πανταχοῦ λυπηρὰ ἔπη.

Μενάνδρου.

Οὔτ᾽ ἐκ χειρὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν, οὔτ᾽ ἀπὸ γλώσσης λόγον.

Σοφοκλέους.

Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγων ἀεὶ,
λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

Αἰσχύλου.

Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.

Φιλήμονος.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν,
μακρὸν νόμιζε, κἂν δύο εἴπῃ συλλαβάς.
τὸν δ᾽ εὖ λέγοντα, μὴ νόμιζ᾽ εἶναι μακρὸν,
μηδ᾽ ἂν σφόδρ᾽ εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ᾽ οὐδὲ εἷς Ὅμηρον εἴρηκε μακρόν.

Μενάνδρου.

Τυραννικόν τι τὸ πόλλ᾽ ἐπίστασθαι λέγειν.

Τοῦ αὐτοῦ.

Αἰσχρόν γ᾽ ὅταν τις ὠθὶ γλώσσῃ φυεὶς,
γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

Ἀπολλοδώρου.

Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι. οἱ δὲ ἀδολέσχαι εἰ ἠνίων ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν.

O 5 Πλάτων

Universidad de Deusto
Biblioteca



Πλάτων, ἀπαθείας ἐν τῇ διατριβῇ ποτὲ μακρολογήσαντος, ἀγνοεῖς, εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστὶν οὐχ ὁ λέγων, ἀλλ' ὁ ἀκούων;

Δημοκρίτου.

Πλεονεξίη τὸ πάντα λέγειν, μηδὲν δὲ ἀκούειν.

Θεόκριτος ἀναξιμένους λέγειν μέλλοντος, ἄρχεται, εἶπεν, λέξεων μὲν ποταμός, νοῦ δὲ σταλαγμός.

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ, ΟΤΙ βραχὺς καὶ εὐτελής.

Σοφοκλέους.

Θνητῶν ἀνθρώπων καὶ ταλαιπώρων γένος,
Ὦ ὡς οὐδὲν ἐσμέν, πλὴν σκιαῖς ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρεφόμενοι.

Τοῦ αὐτοῦ.

Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

Φιλήμονος.

Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπων γύναι,
εὐφραινόμεθ' ἔλαττον ἢ λυπούμεθα.

Μενάνδρου.

Ἅπαντα τὰ ζῶ' ἐστὶ μακαριώτατα,
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίνεται.
ἃ δ' ἡ φύσις δέδωκε, ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν,
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσποριζόμεθα.
λυπούμεθ', ἂν πτάρῃ τις· ἂν εἴπῃ κακῶς,

:πτάρω·κη· // πτάρνυμι· stern // nuto.

ὀργιζό-



ὀργιζόμεθ'· ἂν ἴδῃ τις ἐνύπνιον,
σφόδρα φοβούμεθα· ἂν γλαὺξ ἀνακράγῃ,
δεδοίκαμεν. ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

Αἰσχύλου.

Βίου πονηροῦ θάνατος εὐκλεέστερος.

Μενάνδρου.

Ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν ξένε.
τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα.

Εὐριπίδου.

Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν οὐδεὶς ἀνὴρ
γῆ καὶ σκιά· τὸ μηδὲν, εἰς οὐδὲν βλέπει.

Πομπηΐου μάκρου.

Δεῦτ' ὦ τέκν', ὡς ὀρχηθέντα ὅσον πλεῖστον θέμις.
ὦ πολλὰ τερφθέντ' οὐδὲ λυπηθέντα τι.
μητέρα τι προσλαλίζυαθε κἀξαρπαθέμου.
βούλεσθ' ἀθύρειν; παίζετ' ὦ νέαι φρένες,
ὡς ἔστιν ἡμῖν τοῦτ' ἔαρ παντὸς βίου.
ἤδη δὲ λῦπαι, φροντίδες θ' ἡβῶσ' ὁμοῦ.

Διφίλου.

Ἄνθρωπός εἰμι. τοῦτο δ' αὐτὸ τῷ βίῳ
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.

Εὐριπίδου.

Εἰ δ' ἄτερ πόνων δοκεῖς ἔσεσθαι,
μῶρος εἶ, θνητὸς γεγώς.

Τοῦ αὐτοῦ.

Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νύξ,
τίκτει βροτοῖσι.

Ἡσιόδου.

Universidad de Deusto
Biblioteca



Ἡσιόδου.

Πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα,
νοῦσοι δ' ἀνθρώπων ἐφημέριοι, αἳ δὲ ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.

Διφίλου.

Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθος,
ἐφημέριον γὰρ τὰς τύχας κεκτήμεθα.

Μενάνδρου.

Τυφλόν γε καὶ δύστηνος ἀνθρώποις βίος.

Μιμνέρμου.

Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυανθέμου ὥρη
ἔαρος, ὅτ' αἶψ' αὐγῇ αὔξεται ἠελίου.
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα πρὸς θεῶν εἰδότες οὔτε κακόν,
οὔτ' ἀγαθόν. κῆρες δὲ παρεστήκασι μέλαιναι.
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο. μίνυνθα δὲ γίνεται ἥβης
καρπός, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος.
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίνεται. ἄλλοτε οἶκος
τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει.
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην.
ἄλλος δέ τις νοῦσον ἔχει θυμοφθόρον, οὐδέ τις ἐστὶν
ἀνθρώπων ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδῷ.

Φιλήμονος.

Ὦ τρισμακάρια καὶ τρισόλβια ἅπαντα
τὰ θηρία, οἷς οὐκ ἔστι περὶ τούτων λόγος,





οὔτ' εἰς ἔλεγχον αὐτῶν οὐδὲν ἔρχεται.
οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακὸν
ἐπακτόν. ἣν δ' ἂν εἰσενέγκηται φύσιν,
ἕκαστον εὐθὺς καὶ νόμον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον.
δουλεύομεν δόξαισιν εὑρόντες νόμους
προγόνοισιν ἐγγόνοισιν, οὐκ ἔστ' ἀποτυχεῖν
κακοῦ. πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

Σιμωνίδου.

Ὦ παῖ. τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
πάντων ὅσ' ἐστὶ, καὶ τίθησιν ὅπῃ θέλει.
νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν, ἀλλ' ἐφήμεροι
δὴ βροτοὶ ζώομεν,
ὅπως ἕκαστον ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας κα πειθείη τρέφει.
ἄπρηκτον ὁρμαίνοντας. οἱ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς.
νέωτα δ' οὐδεὶς ὅστις οὐ δοκεῖ βροτῶν
πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι φίλος.
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβὼν,
πρὶν τέρμ' ἵκηται. τοὺς δὲ δύστηνοι νόσοι
φθείρουσι θνητῶν. τοὺς δ' Ἄρει δεδμημένους
πέμπει μελαίνης Ἀΐδης ὑπὸ χθονός.
οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι
καὶ κύμασι πολλοῖσι πορφυρῆς ἁλὸς
θνήσκουσιν, εὖτ' ἂν μὴ δυνήσωνται ζώειν.
οἱ δ' ἀγχόνην ἅψαντο δυστήνῳ μόρῳ
καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ' οὐδέν· ἀλλὰ μυρίαι

Universidad de Deusto
Biblioteca



βροτοῖσι κήρεος καὶ ἐπίφρασις δύναι
καὶ πῆμα τ' ἐστίν. εἰ δέ μοι πυθοίατο,
οὐκ ἂν κακῶν ἐρῶμεν, οὐδ' ἐπ' ἄλγεσιν
κακοῖς ἔχοντες, θυμὸν αἰκιζοίμεθα.

Τοῦ αὐτοῦ.

Εν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ.
οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.
παῦροι μιν θνητῶν οὔασι δεξάμενοι.
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν. ἥτε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμόν, πολλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν, οὐδὲ θανεῖσθαι.
οὐδ' ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
νηπίοισι ταύτῃ κεῖται νόος. οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

Ἡσιόδου.

Πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα.
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ, αἱ δ' ἐπὶ νυκτί,
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.

Εὐριπίδου.

Φεῦ φεῦ βρότειαι πημάτων ὅσαι τύχαι,
ὅσαι τε μορφαί, τέρμα δ' οὐκ εἴποι τις ἄν.

Τοῦ αὐτοῦ.

Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον,
κράτιστον εἶναί, φημι, μὴ φῦναι βροτῷ.

Αἰσχύλου.



Αἰσχύλου.

Τὸ γοῦν βρότειον σπέρμ' ἐφημέρια φρονεῖ,
καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά.

Ὁμήρου.

Ὡς γοῦν ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
ζώειν ἀχνυμένοις.

Ὁμήρου.

Οὐ μὲν γάρ τί πού ἐστιν ὀιζυρώτερον ἀνδρὸς
πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.

Τοῦ αὐτοῦ.

Τί γοῦν δὴ δεῖ βροτῶν ἕνεκα πολεμίζειν
δειλῶν, οἳ φύλλοισιν ἐοικότες. ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσι ἀρούρης καρπὸν ἔδοντες.
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. οὐδέ τις ἀλκή.

Μενάνδρου.

Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει
πολλῶν τε μεστῶν ἐστὶ τὸ ζῆν φροντίδων.

Δημοκρίτου.

Διζημένοισι τἀγαθὰ μόλις παραγίνεται. τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.

Ἀριστοτέλους.

Τί γάρ ἐστιν ἄνθρωπος; ἀσθενείας ὑπόδειγμα, καιροῦ λάφυρον, τύχης παίγνιον, μεταπτώσεως εἰκών, φθόνου καὶ συμφορᾶς πλάστιγξ. τὸ δὲ λοιπὸν φλέγμα, καὶ χολή.

Σωκράτης ἔλεγε νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶν ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν. μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα, οὐκ ἴσης σπουδῆς τυγχάνει.

ΠΕΡΙ

Universidad de Deusto
Biblioteca



## ΠΕΡΙ ΓΑΜΟΥ,
### ὅτι κάλλιστον.

Εὐριπίδου.

Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή.
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω
τέκνων θ' ἁμαρτεῖν, καὶ πάτρας, καὶ χρημάτων,
ἀλόχου τε κεδνῆς. ὡς μόνων τῶν χρημάτων
ἢ κρεῖσσον ἐστὶν ἀνδρὶ σώφρον' ἂν λάβῃ.

Ἀπολλωνίδου.

Φεῦ φεῦ γυναικὸς ὡς ἐν ἀνθρώποις ἄρα
οὐ χρυσὸς, οὐ τυραννὶς, οὐ πλούτου χλιδὴ,
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς,
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία, καὶ φρονοῦσα τἄνδικα.

Θεόγνιδος.

Κύρνος· nomē propriū· vt pla· // 282· et· 330·

Οὐδὲν κύρν' ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός.
μάρτυς ἐγώ· σὺ δέ μου γίνου ἀληθοσύνης.

Εὐριπίδου.

Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι
σοφοῦ τινος γένοιτ' ἂν ἴστορος λόγων.

Τοῦ αὐτοῦ.

Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ,
ἐσθλὴ παραζευχθεῖσα, καὶ σώζει δόμους.

Τοῦ αὐτοῦ.

Ταμεῖον ἀρετῆς ἐστὶ γενναία γυνή.

Τοῦ αὐτοῦ.

Ἀμηχανῶ δ' ἔγωγε, κοὐκ ἔχω μαθεῖν,
εἴτουν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.





ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν ἀθλίους.
ὅσοισι δ' εἰσὶν οὐδὲν εὐτυχεστέρους,
καὶ γὰρ κακοὶ γεγῶτες, ἐχθίστη νόσος.
κἂν αὖ γένωνται σώφρονες κακὸν μέγα.
λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι.

Ἀντιγόνου.

Ζευχθεὶς γάμοισιν οὐκέτ' ἐστ' ἐλεύθερος,
ἀλλ' ἕν γ' ἔχει τι χρηστόν. ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.

Δημοσθένους ἐκ τοῦ κατὰ Νεαίρας.

Τὰς μὲν γὰρ ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς παλλακὰς τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος· τὰς δὲ γυναῖκας, τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν.

Πλάτωνος νόμων.

Περὶ γάμων δὴ ταῦτ' ἔστω παραμύθια λεγόμενα, ὡς χρὴ τ' ἀειγενοῦς φύσεως ἀντέχεσθαι, τῷ παῖδας παίδων καταλείποντι ἀεὶ τῷ θεῷ ὑπηρέτας ἀνθ' αὑτοῦ παραδιδόναι.

Ἐν ταυτῷ.

Γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων.

Ἐκ τῶν Ἀρίστωνος.

Σπαρτιατῶν νόμος τάττει ζημίας, τὴν μὲν πρώτην ἀγαμίου, τὴν δευτέραν ὀψιγαμίου, τὴν τρίτην καὶ μεγίστην κακογαμίου.

## ΟΤΙ ΟΥΚ ΑΓΑΘΟΝ τὸ γαμεῖν.

Ἀλέξιδος.

Τίς δῆθ' ὑγιαίνων, νοῦν τ' ἔχων, τολμᾷ ποτὲ
γαμεῖν, διαπραξάμενος ἥδιον βίον;
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν,
ἄτιμον εἶναι μᾶλλον, ἢ γυναῖκ' ἔχειν,
πτωχῷ γε; τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας.
ἐπὰν δὲ γήμης, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι. τὰς γὰρ εὐθύνας μόνον
ἐφημερινὰς τοῦ βίου κεκτήμεθα.

Μενάνδρου.

ὦ τρισκακόδαιμον, ὅστις πένης ὢν γαμεῖ,
καὶ παιδοποιεῖθ', ὡς ἀλόγιστος ἔστ' ἀνήρ;
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ' ἂν ἀτυχήσας εἰς τὰ λοιπὰ τοῦ βίου
ἐπαμφιάσαι τοῦτο δύναιτο χρήμασιν.
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ, τῶν ἀνιαρῶν ἔχων τὸ μέρος
ἁπάντων, τῶν δ' ἀγαθῶν οὐ δυνάμενος.

Ναυμαχίου.

καλὸν μὲν δέμας ἁγνὸν ἔχειν, ἀδμῆτά τε μίμνειν
παρθενικὴν, καθαροῖσι δ' ἀεὶ μελεδήμασι χαίρειν
μήτε βαρυτλήτων λαγόνων περὶ φόρτον ἄγουσαν,
μήτε πόνον τρομέουσαν ἀγάστονον εἰλειθυίης.
ἀλλ' ἤδη βασίλειαν ἀφαυρῶν θηλυτεράων,
ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βιότοιο χέουσαν.
ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μιγεῖσα

θεσπε-



θεσπεσίοις ἐπέεσι νοήματα φάεα τίκτει.
εἰ δέ σε καὶ ξεινοῖο πόθος βιότοιο κιχάνοι,
καὶ τοῦτο προδαεὶς ἐρέω, πῶς χρή σε περῆσαι
τὸν πλοῦν, ὥστε φασὶν, τὸν δεύτερον εὔφρονι θυμῷ.

Ἱππώνακτος.

δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τις, κἀκφέρῃ τεθνηκυῖαν.

Μενάνδρου.

μηδέποτε γήμαι μηδὲ εἷς εὔνους ἐμοί.

Τοῦ αὐτοῦ.

γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι
ἀγαθὸν μεθέξεις, ἂν λάβῃς μικρὸν κακόν.

Εὐριπίδου.

νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι.
χρὴ γὰρ τὸν εὐτυχοῦνθ' ὅτι πλείστας ἔχειν
γυναῖκας, εἴπερ ἂν τροφὴ δόμοισι παρῇ.
ὡς τὴν κακὴν μὲν ἐξέβαλε δωμάτων,
τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσώζετο.
νῦν δ' εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν
ῥίπτοντες. οὐ γὰρ τῶν τρόπων πειρώμενοι,
νύμφας εἰς οἴκους ἑρματίζονται βροτοί.

Τοῦ αὐτοῦ.

ζηλῶ δ' ἀγάμους, ἀτέκνους τε βροτῶν.
μία γὰρ ψυχὴ τ' ὑπεραλγεῖν μέτριον ἄχθος.

Τοῦ αὐτοῦ.

οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν.
πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατῄσχυνεν ἐν δόμοισι νηπία.

Φιλήμονος.

Universidad de Deusto Biblioteca



τὸν μόνον ὄντα καὶ κακὴ τύχη τρέφει.

Φιλήτου.

βίον καλὸν ζῇς, ἂν μὴ γυναῖκα ἔχῃς.

Διφίλου.

γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

Χαιρήμονος.

γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν, ἢ γαμεῖν.

Ἱπποθόου.

ζευχθεὶς γάμοισιν, οὐκ ἔτ' ἐστ' ἐλεύθερος.

Θεοδέκτου.

+ la vejez y el casamjento. mal deseado. :+

παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος.
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν.
ὅταν δὲ τύχωμεν, ὕστερον λυπούμεθα.

Μενάνδρου.

πατρῷα ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα,
τὰ δὲ μετὰ γυναικὸς εἰσιόντ' εἰς οἰκίαν,
οὔτ' ἀσφαλῆ τὴν κτῆσιν, οὔθ' ἱλαρὰν ἔχει.

Λυκούργου.

Ὅταν γυνὴ ὁμονοίας τῆς πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος.

Λυσίου.

ἡ γὰρ ἂν ἡμέρα γυνὴ προδῷ τὸ σῶμα, καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν. ὥστε νομίζειν τοὺς μὲν οἰκείους ἐχθρούς, τοὺς δ' ἀλλοτρίους πιστούς. περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχει τὴν γνώμην.

Ἀναξάνδριδος.

ὅστις γαμεῖν βούλεται, οὐ βουλεύεται
ὀρθῶς, διότι βουλεύεται, τοῦτο γαμεῖ.

πολλῶν



πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τοῦ βίου.
ἢ γὰρ πένης ὤν, τὴν γυναῖκα χρήματα
λαβών, ἔχει δέσποιναν, οὐ γυναῖκ' ἔτι,
ἧς ἐστι δοῦλος καὶ πένης. ἢν δ' αὖ λάβῃ
μηδὲν φερομένην, δοῦλος αὐτὸς γίνεται.
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο.
ἀλλ' ἔλαβεν αἰσχράν, οὐ βιωτόν ἐστ' ἔτι,
οὐδ' εἴσοδος τοπαράπαν εἰς τὴν οἰκίαν.
ἀλλ' ἔλαβεν ὡραίαν τις, οὐδὲν γίνεται
μᾶλλόν τι τοῦ γήμαντος, ἢ τῶν γειτόνων.
ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίνεται.

Φιλήμονος.

ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

Φιλιππίδου.

ἔλεγον ἐγώ σοι, μὴ γαμεῖν, ζῆν δ' ἡδέως.
τὸ πλάτος ἀγαθὸν δ' ἐστι τοῦτο Φίδυλε,
μὴ λαμβάνειν γυναῖκα, μηδὲ τῇ τύχῃ
διὰ πλειόνων αὑτὸν παραβάλλειν πραγμάτων.

Μενάνδρου.

τὸ γυναῖκ' ἔχειν, εἶναί τε παίδων παρμένων
πατέρα, μερίμνας τῷ βίῳ πολλὰς φέρει.

ερ το est. permansuros // ἀπὸ τοῦ. παρμένω // ἐνῶ. τῶ. παραμε // μένηκα. adsum // permaneo.

Σοφοκλέους.

νῦν δ' οὐδέν εἰμι χωρίς, ἀλλὰ πολλάκις
ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,
ὡς οὐδέν ἐσμεν. αἱ νέαι μὲν ἐν πατρὸς
ἥδιστον οἶμαι ζῶμεν ἀνθρώπων βίον.
τερπνῶς γὰρ ἀεὶ παῖδας ἡ ἄνοια τρέφει.
ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' εὔφρονες,
ὠθούμεθ' ἔξω καὶ διεμπολούμεθα.



θεῶν

Universidad de Deusto
Biblioteca



θεῶν πατρῴων τήν τε φύσασαν ἄγειν.
αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους.
αἱ δ' εἰς ἀληθῆ δώματ', αἱ δ' ἐπίρροθα.
καὶ ταῦτ' ἐπειδὰν εὐφρόνη ζεύξῃ μία,
χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.

Ἀντιφάνους.

ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

Ἐπαμινώνδας ἐρωτηθείς, τί ὀνειδ' ὁ μὴ γήμας, τὸ μὴ ὀκνεῖν εἶπεν ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν.

Πλάτων ἐρωτηθείς, εἰ γήμας φιλοσοφήσω, οὐκ εἰδὼς, ἔφη, οὐδὲ μόνον σαυτὸν σώζεις, καὶ γυναῖκα ὡδὶ τὴν ὅμοφρον συνδιασώσεις.

Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ, οὔπω καιρὸς ἔλεγεν· εἶτα προβάς, οὐκέτι καιρός.

## ΨΟΓΟΣ ΓΥΝΑΙΚΩΝ.

Εὐριπίδου.

: Simile·plana //· -14-

Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων.
δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς θερμαὶ πνοαί.
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία.
ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν.
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ,
οὐδ' ἂν λόγος λέξειεν. εἰ δέ του θεῶν — de alguno de los // // dios seb
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴσθι, καὶ βροτοῖσι δυσμενής.

ο/ ἴσθι ·// scias //
//esto// ἐν ἴσθι ·//
// nihil·bel·btig ple//
//rumq Significat //
// pro quo· cicero //
// mihi crede dica//
// re Solet ·:- Sic//
// In lexico

Τοῦ αὐτοῦ.

γυναῖκες ἐσμὲν ἐσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

Τοῦ αὐτοῦ.

ὄλλυσθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι

γυναῖκας.



γυναῖκας. οὐδ' εἰ φησί τις μ' ἀεὶ λέγειν.
ἀεὶ γὰρ οὕτως εἰσὶ κἀκεῖναι κακαί.
ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ' ἐάτω ταῖς δ' ἐπεμβαίνειν ἀεί.

Τοῦ αὐτοῦ.

ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.
ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν.

Τοῦ αὐτοῦ.

γυνὴ γὰρ ἐστὶ τἄλλα μὲν φόβου πλέα,
κακὴ δ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν.
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ, — ·κυρέω· Sum·adipiscor·
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα. — Incido· absolvo· vt pla· ·238·

Τοῦ αὐτοῦ.

πλὴν τῆς τεκούσης, θῆλυ πᾶν μισῶ γένος.

Τοῦ αὐτοῦ.

γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων,
οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.

Τοῦ αὐτοῦ.

γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς,
δύστηνος ἆρα κοὐ σοφὸς κεκλήσεται.

Τοῦ αὐτοῦ.

πολλὰς γὰρ εὕροις μηχανάς, γυνὴ γὰρ εἶ.

Τοῦ αὐτοῦ.

δειλὸν γυναικὸς δεσποτῶν θρασύστομοι.

Τοῦ αὐτοῦ.

πέπονθα. δεινὸν δ' ἑρπετῶν καὶ ἀγρίων
ἄκη βροτοῖσι θεῶν κατέστησέν τινα·
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω

κακῆς, τοσοῦτον ἐσμὲν ἀνθρώποις κακόν.

Τοῦ αὐτοῦ.

ὦ παγκακίστη καὶ γυνή, τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος, ἐξείποι τις ἄν.

Τοῦ αὐτοῦ.

πάντων δ' ὅσ' ἔμψυχα καὶ γνώμην ἔχει,
γυναῖκες ἐσμὲν ἀθλιώτατον φυτόν.
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι, δεσπότην δὲ σώματος
λαβεῖν. κακοῦ γὰρ τοῦτό γ' ἄλγιον κακόν.

Τοῦ αὐτοῦ.

ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακόν,
γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
ἢ χαλκόν, ἢ σίδηρον, ἢ χρυσοῦ βάρος,
πόσιν πρίασθαι σπέρμα τοῦ τιμήματος.

Τοῦ αὐτοῦ.

μισῶ γυναῖκας, ἐκ πασῶν δέ σε,
ἥτις πονηρὰ ἔργα ἔχουσ' εὖ λέγεις.

Ὁμήρου.

οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός.
κείνου βούλεται οἶκον ὀφέλλειν, ὅστις ὀπυίει.
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνειότος, οὐδὲ μεταλλᾷ.

Ἀλέξιδος.

{ οὐκ ἔστ' ἀναισχυντότερον οὐδὲν θηρίον
{ εἰσορᾶν γυναικός. ἀπ' ἐμαυτῆς ἐγὼ τεκμαίρομαι.

Μενάνδρου.



Μενάνδρου.

Πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν, ἢ κύνα.

Τοῦ αὐτοῦ.

Καί γε λογίζομαι ὁ κακοδαίμων προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι, μὴ μόνον
κακόν τι προσλάβοιμι τὴν κάλλιστ' ἔχει.
οὐκ ἐν γυναικὶ φύεται πλείστη χάρις.

Τοῦ αὐτοῦ.

Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
ὅταν περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.

Τοῦ αὐτοῦ.

Οὐδὲ πώποθ' ἑταίρα τὸ καλῶς πεφρόντικεν,
ἢ τὸ κακόηθες πρόσοδον εἴωθε ποιεῖν.

Ἀντιφάνους.

Ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον,
ἐπὰν ἀποθάνῃ, μὴ βιώσεσθαι πάλιν.
τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ', ἕως ἂν ἀποθάνῃ.

Τοῦ αὐτοῦ.

Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
ὅταν οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.

Μενάνδρου.

Ὅπου γυναῖκές εἰσι, πάντ' ἐκεῖ κακά.

Σιμωνίδου.

Χωρὶς γυναικὸς, θεὸς ἐποίησε νόον.
τὰ πρῶτα. τὴν μὲν, ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί.
αὐτὴ δ' ἄλουτος ἄπλυτος ἐν ἱμᾶσιν

Universidad de Deusto Biblioteca

ἐν κοπρίῃσιν εἱμένη πιαίνεται.
τὴν δ᾽ ἐξ ἀλιτρῆς θεὸς ἔθηκ᾽ ἀλώπεκος,
γυναῖκα πάντων ἴδριν, οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῶν ἐστὶ πολλάκις κακὸν,
τὸ δ᾽ ἐσθλόν. ὀργὴν δ᾽ ἄλλοτ᾽ ἀλλοίην ἔχει.
τὴν δ᾽ ἐκ κυνὸς λιτοεργὸν αὐτομήτορα,
ἣ πάντ᾽ ἀκοῦσαι, πάντα δ᾽ εἰδέναι θέλει.
πάντη δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδέν᾽ ἀνθρώπων ὁρᾷ.
παύσειε δέ μιν οὔτ᾽ ἀπειλήσας ἀνὴρ,
οὐδ᾽ εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ᾽ ἂν μειλίχως μυθεόμενος.
οὐδ᾽ εἰ παρὰ ξείνοισιν εἱμένη τύχῃ.
ἀλλ᾽ ἐμπέδως ἄπρηκτον αὐονὴν ἔχει.
τὴν δὲ πλάσαντες γηΐνην Ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν. οὔτε γὰρ κακὸν,
οὔτ᾽ ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή.
ἔργων δὲ μοῦνον ἐσθίειν ἐπίσταται,
ὅταν κακὸν χειμῶνα ποιήσει θεὸς
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
τὴν δ᾽ ἐκ θαλάσσης. ἣ δύ᾽ ἐν φρεσὶν νοεῖ.
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει δὲ ξεῖνος ἐν δόμοις ἰδών.
οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνὴ,
ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων.
τὴν δ᾽ οὐκ ἀνεκτὸς οὐδ᾽ ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ᾽ ἆσσον ἐλθεῖν· ἀλλὰ μαίνεται τότε
ἄπλητον ὥσπερ ἀμφὶ τέκνοισι κύων.

ἀμείλιχος



ἀμείλιχος δὲ πᾶσι κἀποθυμία,
ἐχθροῖσιν ἴσα καὶ φίλοισι γίνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἕστηκ᾽ ἀπήμων, χάρμα ναύτῃσι μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται.
βαρυκτύποισι κύμασι φορευμένη.
ταύτῃ μάλιστ᾽ ἔοικε τοιαύτη γυνὴ,
ὀργήν. φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
τὴν δ᾽ ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου.
ἣ σύν τ᾽ ἀνάγκῃ, σύν τ᾽ ἐνίπῃσι μόγις
ἔστερξεν ὧν ἅπαντα καὶ πονήσατο,
ἀρεστά. τόφρα δ᾽ ἐσθίει μὲν ἐν μυχῷ,
προνὺξ, προῆμαρ. ἐσθίει δ᾽ ἐπ᾽ ἐσχάρῃ.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόνθ᾽ ἑταῖρον ὅντινοῦν ἐδέξατο.
τὴν δ᾽ ἐκ γαλῆς δύστηνον οἰζυρὸν γένος.
κείνῃ γὰρ οὔτι καλὸν οὐδ᾽ ἐπίμερον
πρόσεστιν, οὐδὲ τερπνὸν, οὐδ᾽ ἐράσμιον.
εὐνῆς δ᾽ ἀληνής ἐστιν ἀφροδισίης.
τὸν δ᾽ ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ.
κλέπτουσα δ᾽ ἔρδει πολλὰ γείτονας κακά.
ἄθυστα δ᾽ ἱρὰ πολλάκις κατεσθίει.
τὴν δ᾽ ἵππος ἁβρὴ χαιτέης ἐγείνατο.
ἣ δούλι᾽ ἔργα καὶ δύην περιτρέπει.
κοὔτ᾽ ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι.
οὔτε πρὸς ἰπνὸν ἀσβόλην ἀλευμένη
ἵζοιτ᾽, ἀνάγκῃ δ᾽ ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρας ἄπο ῥύπον

δίς.

Universidad de Deusto
Biblioteca



δὶς, ἄλλοτε τρὶς, καὶ μύροις ἀλείφεται.
ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ,
βαθεῖαν, ἀνθέμισιν ἐσκιασμένην.
καλὸν μὲν οὖν θέαμα τοιαύτη γυνὴ,
ἄλλοισι. τῷ δ' ἔχοντι γίγνεται κακόν.
ἢν μή τις, ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
ὅς τις τοιούτοις θυμὸν ἀγλαΐζεται.
τὴν δ' ἐκ πιθήκου. τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσι μέγιστον ὤπασε κακόν.
αἴσχιστα μὲν πρόσωπα τοιαύτη γυνὴ
εἶσι δ' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
ἐπ' αὐχένα βραχεῖα κινεῖται μόγις.
ἄπυγος, αὐτόκωλος, ὢ τάλας ἀνὴρ,
ὅς τις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος. οὐδέ οἱ γέλως μέλει,
οὐδ' ἄν τι εὖ ἔρξειεν. ἀλλὰ τοῦτ' ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τι χ' ὡς μέγιστον ἔρξειε κακόν.
τὴν δ' ἐκ μελίσσης, τήν τις εὐτυχεῖ λαβών.
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει.
θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος.
φίλη δὲ συμφιλοῦντι γηράσκει πόσει
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος.
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θείη δ' ἀμφιδέδρομε χάρις.
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσι χαρίζεται

Ζεὺς



Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ Διὸς
ἔστι τε πάντα, καὶ παρ' ἀνδράσι μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησε κακόν,
γυναῖκας, ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντι τῷ μάλιστα γίνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅς τις σὺν γυναικὶ πέλεται.
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται
ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεῶν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον ἢ θεοῦ μοῖραν, ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν οὐδ' ἐς οἰκίαν
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη.
κεχηνότος γὰρ ἀνδρός, οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες, καὶ τὸν ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος,
γυναῖκα. τὴν δὲ τοὐτέρου μωμήσεται.
ἴσην δ' ἔχοντες μοῖραν, οὐ γινώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησε κακόν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδης.
ἐξ οὗ τε τοὺς μὲν Ἀΐδης ἐδέξατο;
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

Εὐριπίδου.

Πέφυκε γάρ πως πᾶσι πολέμιον γυνὴ,
τοῖς πρόσθεν ἢ ζυγεῖσα δευτέροις πόσει.

Τοῦ

Τοῦ αὐτοῦ.

Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.

Τοῦ αὐτοῦ.

Ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
μέλουσιν, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι.

Μενάνδρου.

Ἐστὶ γυνὴ λέγουσα χρηστὰ ὑπερβάλλων φόβος.

## ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

Εὐριπίδου.

Ἀλλ' οὔ ποτ' οὔ ποτ', οὐ γὰρ εἰσάπαξ ἐρῶ,
χρὴ τούς γε νοῦν ἔχοντας οἷς ἐστὶ γυνὴ
πρὸς τὴν ἐν οἴκοις ἄλοχον εἰσφοιτᾶν ἐᾶν
γυναῖκας. αὗται γὰρ διδάσκαλοι κακῶν.
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος.
ἡ δ' ἀμπλακοῦσα συννοσεῖν αὑτῇ θέλει.
πολλαὶ δὲ μαργότητι. κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ' εὖ φυλάσσετε
κλείθροισι καὶ μοχλοῖσι δωμάτων πύλας.
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσι γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

Τοῦ αὐτοῦ.

Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
δοῦναι χαλινούς, οὐδ' ἀφεῖτ' ἐᾶν κρατεῖν.
= κυρέω. adipiscor / πιστὸν γὰρ οὐδέν ἐστιν. εἰ δέ τις κυρεῖ
Incido. Ut plana // γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.
//. 231.

Ναυμαχίου.

Ἔστω σοι πόσις οὗτος, ὃν ἂν κρίνωσι τοκῆες,
καὶ μὲν ἐκ πινυτοῦ, σὺ μακαρτάτη. εἰ δέ κεν ἄλλως

ἀνέρα



ἀνέρα μοιρήσαιο, φέρειν καὶ τοῦτον ἀνάγκη.
ἀλλ' ἢν μέν τί σοι πεπινυμένος ὅττι κεν εἴπῃ
πείθεο. μηδ' ἔστω βίος ἄνδιχα, γίνεο δ' αὐτῷ
μειλιχίη μᾶλλον ὅταν τι ἑ κῆδος ἱκάνῃ.
ἀνδρὶ γὰρ ἀχαλόωντι παραίφασις ἐστὶν ἄκοιτις.
λεῖπε δὲ οἱ τὰ θύρηφι, τὰ καὶ δύναται πονέεσθαι.
σοὶ δ' οἰκωφελίη μελέτω, μέγαρόν τε φυλάσσειν.
μηδέ μιν ἐξερέεινε τὰ μὴ θέμις ἐστὶ γυναῖκας
ἴδμεναι. εἰ δ' αὐτὸς ἐθέλῃ συμφράδμονα θέσθαι,
σιώπεο μὲν τάχα μύθῳ, ἀμείβεο δ' ὅττε σὺ αὐτῷ
φραζομένη, καὶ μηδὲν ὑπέρχεο, μηδὲ κελεύειν,
σὴ ῥέξειν ἰσότητι. τὸ γὰρ τέλος ἐστὶν ἀφαυρόν.
κουρίδιος πινυτή, πόσις ἀφνειός. οὐδ' ἔτ' ἐκείνην
δεύτερος ἀθρήσει λεχέων ἀπογυμνωθεῖσαν.
πρῶτα μὲν ἀφραίνοντος ἀνάσχεο. καὶ γὰρ ἀνάγκη
πολλάκι τοῦ καὶ νοῦσον ἀνάσχεο κηδομένη περ.
ἴσχεο δ' ἐν στέρνοις τὰ σὰ κήδεα. μηδ' ἀγόρευε
πᾶσιν ὅσα περ ἧσθα, μηδ' ἔννεπε πάντα τοκεῦσι.
μουνὴ δ' ἀφραδέοντα πινυσσέμεν. ἀλλὰ κατ' αἶσαν
καὶ πινυτὸν δεσάκην ἐρεθιζέμεν' ἀνέρα λώβη.
πολλάκι δ' ἤπιος ἄνδρα καὶ ἄφρονα μῦθος ἔθελξεν.
εἰ δ' ὀλοοῖς ἑτάροισιν ἐφεσπόμενος κακὸς εἴη,
μὴ σὺ μὲν ἀντιβίην κείνου τέκος εἰς ἔριν ἔλθοις,
ἀλλ' ἑτάρων ὄτρυνε μετὰ σφίσι νείκεα βάλλειν.
ῥηιδίη δ' ὁ δόλος ἠδὲ διακρίνει φιλότητα
λευγαλέην. ἑτάροις δὲ φίλον ἀγαθοῖσι γενέσθαι,
σὴ πινυτή. τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο.
καὶ σὺ μὲν ὡς φίλον ἄνδρα κατρεκέως ἀγάπαζε.
γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις ὅττι κε τέκνα

ἐκ θυμοῦ

Universidad de Deusto Biblioteca



ἐκ θυμοῦ φιλέειν. ἐπεὶ οὔτι γε τοῖος ἐτύχθη
οἷος ἔχειν φιλότητα καὶ ἤθεα πιστὰ δαῆναι.
παρθενική, σὺ δ' ἄκουε, τάδε χρὴ πάντα φυλάσσειν.
μήτε φιλομμειδὴς μάλα γίνεο, μήτε κατηφής.
μήτ' ἔσο πάμπαν ἀεργός. ἅλις δ' ἔχε καὶ πόνου ἔργον.
μήτε κακὴ δμώεσσι τεοῖς ἔσο, μήτε μάλ' ἐσθλὴ
φαίνεο. ῥηΐτεροι γὰρ ἀεὶ τοῦ πῆμα φέροντι.
θαρσεῖ δεσποτῶν μάλ' ἐπικρατέουσιν ἀνάκτων.
ὀθνείων φιλότητας ἀναίνεο πρὶν καὶ ἀπ' ἄλλων
εἰδείης ἔτυμος μελετήματα καὶ νόον αὐτῶν.
μήτε γραῦν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις,
πολλῶν γρῆες ἔπερσαν εὔκτιτα δώματα φωτῶν.
μηδέ μιν ἀκριτόμυθον ἑταιρείσαιο γυναῖκα.
κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι.
μή σύ ποτε χρυσῷ περιμαίνεο, μήτ' ἐπὶ δειρῆς
πορφυρέην ὑάκινθον ἔχῃς ἢ χλωρὸν ἴασπιν
τοῖς ἐπιφρονέωσι δαΐφρονες. ἀλλὰ σὺ κόσμου
παρθένε τηϋσίου μὴ δεύεο, μηδὲ κατόπτρου
χειρὶ διακρίνουσα τεὴν αὐγάζεο μορφήν.
μηδὲ κόμης πέρι, ἀλλὰ πολυχιδέας πλέκε σειράς.
μηδὲ μέλαινε τεῇσιν ὑπὸ βλεφάροισιν ὀπωπάς.
οὐ γὰρ θηλυτέραις δέμας ὤπασεν ἡμιτέλεστον
μορφήν. ὄφρα καὶ ἄλλα περὶ χροῒ τεχνήσαιντο.
πῶς δ' ἂν κούρα δύναιο δαήμονι φωτὶ φανῆναι
θνητοῖς ἐφημερίην κομιδῇ χρόα ποικίλλουσα;
ἐξ ἑτέρης ἑτέρην σε, καὶ ἄλλην ἄλλοτε λεύσσω
φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα.

Μενάνδρου.

Τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις γύναι,





διὰ τὴν αὐλαῖ λίαν. πέρας γὰρ αὔλιος θύρα
ἐλευθέρᾳ γυναικὶ νενόμιστ' οἰκίας.
τὸ δ' ἐπιδιώκειν, εἴς τε τὴν ὁδὸν τρέχειν
ἔτι λοιδορουμένην, κυνὸς ἔστ' ἔργον ῥώδη.

Εὐελπίδου.

οὐδὲν γὰρ καλὸν δυοῖν γυναικοῖν
ἄνδρ' ἕν' ἡνίας ἔχειν·
ἀλλ' εἰς μίαν βλέποντες, δύναιαι κύπτειν
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.

Φιλήμονος.

ἀγαθῆς γυναικός ἐστιν ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρὸς, ἀλλ' ὑπήκοον.
γυνὴ δὲ νικῶσ' ἄνδρα, κακόν ἐστι μέγα.

Εὐελπίδου.

κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν.

Τοῦ αὐτοῦ.

αἰνῶ. διδάξαι δ' ὦ τέκνον σε βούλομαι,
ὅταν μὲν ἧς παῖς, μὴ πλέω παιδὸς φρονεῖν.
ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν.
ὅταν δ' ὑπ' αἰδοῦς χλαῖναν εὐγενοῦς πέσῃς,
τὰ δ' ἄλλ' ἀφεῖναι μηχανήματ' ἀνδράσι.

Τοῦ αὐτοῦ.

σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβω,
διακονοῦσα κρυπτὰ καὶ βολῇ λόγος
οὐχ ἧπερ αὐτὸν ἡμεῖς ἐξελίσσομεν.
τὰ γοῦν γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
καὶ ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι,
μισούμεθ', οὕτω δυστυχεῖς πεφύκαμεν.

Τοῦ αὐτοῦ.

αὕτη δὲ πάντα συμφέρουσ' Ἰάσονι.
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.

Τοῦ αὐτοῦ.

οὐ χρὴ 'πὶ σμικροῖς μεγάλα προσιώειν κακά,
οὐδ' εἰ γυναικῶν ἐσμὸν ἀτηρὸν κακὸν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.

Μενάνδρου.

ἢ μὴ γαμεῖν γὰρ, ἂν δ' ἅπαξ λάβῃς φέρειν
μύσαντα πολλὴν προῖκα καὶ γυναῖκα δεῖ.
ἐκπωθαίεσθαι ταρσένων δ' ἡμᾶς σέθεν.
τὸ μὲν μέγιστον, οὔποτ' ἀνδρὸς ἦ σοφὸν
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων.
ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς·
ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρεφωμένη
βλέπουσά τ' εἰς πᾶν, καὶ παροῦσα πανταχοῦ,
τὴν ὄψιν ἐμπλήσασά τ' ἀπήλλακται κακῶν.
τό τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.
ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων
σώζει δάμαρτα, δ' ἀνδρὶ δὴ δοκῶν σοφὸν,
μάταιός ἐστι καὶ φρονῶν οὐδὲν φρονεῖ.
ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει,
θᾶσσον μὲν ὀϊστοῦ καὶ πτεροῦ χωρίζεται.
λάθοι δ' ἂν Ἄργου τὰς πυκνοφθάλμους κόρας·
καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως.
ἀνήρ τ' ἀχρεῖος καὶ γυνὴ διοίχεται.

Πλουτάρχου ἐκ τῶν γαμικῶν παραγγελμάτων.

Κόσμος ἐστὶν, ὡς ἔλεγε Κράτης, τὸ κοσμοῦν. κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν. ποιεῖ δὲ ταύτην οὔτε

χρυσός,



χρυσὸς, οὔτε σμάραγδος, οὔτε κόκκος· ἀλλ' ὅσα σεμνότητος, εὐταξίας, αἰδοῦς, ἔμφασιν περιτίθησιν.

Ἱπποκράτους.

Ἀλλ' ὅμως χρήζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν ἑαυτῇ, ὅπερ εἰ μὴ καθ' ἡμέραν ἐκκόπτοιτο ὡς τὰ δένδρεα καθυλομανεῖ.

Δημοκρίτου.

Κόσμος ὀλιγομυθίη γυναικὶ, καλὸν δὲ καὶ κόσμου λιτότης.

Τὴν δὲ Ἠλείων ὁ Φειδίας Ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν, οἰκουρείας σύμβολον ταῖς γυναιξὶ, καὶ σιωπῆς.

Σωκράτους.

Τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι, τὰς δὲ γυναῖκας τοῖς τῶν συνοικούντων ἀνδρῶν ἤθεσιν.

Ἐπιχάρμου.

Σώφρονος γυναικὸς ἀρετὰ, τὸν συνόντα μὴ ἀδικεῖν ἄνδρα.

Εὐσεβίου.

Γάμου ἀρίστη ξυμφωνίη, ἀμφοτέρων σωφροσύνην ἀσκέειν.

Σωκράτους.

Τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι, τὰς δὲ γυναῖκας τοῖς τῶν ξυνοικούντων ἀνδρῶν ἤθεσι.

Ὑπερίδου.

Φοβητέον οὐκ ἀνδρὸς ἀπειλὴν, ἀλλὰ νόμου φωνήν.

Θεανὼ ἐρωτηθεῖσα ἡ Πυθαγόρειος, πῶς ἔνδοξος ἔσται, ἔφη·

q 2 τὸν

Universidad de Deusto
Biblioteca



ἱστὸν ἐποιχομένην, καὶ ἐμὸν λέχος ἀντιόωσα.

Ἡ αὐτὴ ἐρωτηθεῖσα, τί πρέπον εἴη γυναικὶ, τὸ τῷ ἰδίῳ, ἔφη, ἀρέσκειν ἀνδρί.

## ΠΕΡΙ ΤΟΥ, ΓΝΩΘΙ ΣΑΥΤΟΝ.

Μενάνδρου.

Τὸ γνῶθι σαυτὸν ἐστὶν, ἂν τὰ πράγματα
ἴδῃς τὰ σαυτοῦ, καὶ τί σοι ποιητέον.

Φιλήμονος.

ἄνθρωπος ὢν, τοῦτ' ἴσθι, καὶ μέμνησ' ἀεί.

Διφίλου.

ἂν γνῷς τί ἐστιν ἄνθρωπος, ἡδίων ἔσῃ.

Ἀντιφάνους.

εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.

Μενάνδρου.

κατὰ πόλλ' ἄρ' ἐστὶν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτόν. χρησιμώτερον γὰρ ἦν
τὸ γνῶθι τοὺς ἄλλους.

Ἐν χαιρωνείᾳ τοὺς ἀθηναίους ἡνίκα ἐνίκησεν ὁ φίλιππος, ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ ἐκράτησε, καὶ οὐχ ὕβρισε, καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν ὅτι ἄνθρωπος ἐστίν.

Πλουτάρχου.

Καὶ μὴν οἶνοί τε καὶ σαρκῶν ἐμφορήσεις, σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ· καὶ χρημάτων ἐπιμέλεια μὲν συνεχὴς καὶ τήρησις αὔξει πλοῦτον. ἀνυπεροψία δὲ καὶ σωφροσύνη μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὅθεν οὐ πάντα πάντων ἐστὶν, ἀλλὰ δεῖ τῷ πυθικῷ γράμματι πειθομένους, αὑτὸν καταμα-



καταμαθεῖν, εἰ χρῆσθαι πρὸς ἃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν, καὶ παραβιάζεσθαι τὴν φύσιν.

Σωκράτης ἐρωτηθεὶς, διὰ τί οὐ συγγράφει, ὅτι (εἶπεν) ὁρῶ τὰ χαρτία πολὺ τῶν γεγραφησομένων τιμιώτερα.

Θεόκριτος ἐρωτηθεὶς, διὰ τί οὐ συγγράφει, ὅτι (εἶπεν) ὡς μὲν βούλομαι, οὐ δύναμαι· ὡς δὲ δύναμαι, οὐ βούλομαι.

Βίαντος.

Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.

Γνῶθι σαυτὸν ἡ μαρτυρεία παραλαμβάνεται, μαρτυρεῖ θεόφραστος ἐν τῷ περὶ παροιμιῶν. οἱ πολλοὶ δὲ χείλωνος εἶναι τὸ ἀπόφθεγμα, κλέαρχος δὲ ὑπὸ τοῦ θεοῦ λεχθῆναι χείλωνι.

Χείλων ἐρωτηθεὶς, τί χαλεπώτατον, τὸ γινώσκειν ἑαυτὸν, ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

## ΨΟΓΟΣ ΓΗΡΩΣ.

Εὐριπίδου.

Φεῦ φεῦ τὸ γῆρας, ὡς ἔχει πολλὰς νόσους.
γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον.
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.

Τοῦ αὐτοῦ.

φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει. : ὁ αἶνος· proverbium " μῦθος.
γέροντες ἐσμὲν οὐδὲν ἄλλο πλὴν ὄχλος.
καὶ σχῆμ'. ὀνείρων δ' ἕρπομεν μιμήματα.
νοῦς δ' οὐκ ἔτ' ἐστιν, οἰόμεσθα δ' εὖ φρονεῖν.

Τοῦ αὐτοῦ.

ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ.

q 3 Τοῦ

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς.
μακρὸς γὰρ αἰὼν μυρίους τίκτει νόσους.

Τοῦ αὐτοῦ.

τί δ' ἄλλ' ἢ φωνὴ καὶ σκιὰ γέρων ἀνήρ;

Μενάνδρου.

ὀχληρὸν ὁ χρόνος ὁ πολὺς, τὸ γῆρας βαρὺ
ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πόλλ' ἔχεις,
τοῖς ζῶσι, καὶ λυπηρά. πάντες εἰς σὲ δὲ
ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν.

Θεόγνιδος.

οὔτε γε μὴν πενίης θυμοφθόρου μελεδαίνω,
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς·
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει·
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Τοῦ αὐτοῦ.

ὤμοι ἐγὼν ἥβης τε καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισομένης.

Φερεκράτους.

ὦ γῆρας ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ,
καὶ πανταχῆ λυπηρὸν οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ' οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προσδιδάσκεις εὖ φρονεῖν.
εἰκῆ μ' ἐπῆρας ὄντα τηλικουτονὶ,
πολλοῖς ἐμαυτὸν ἐγκυλίσαι πράγμασιν.
ἐγὼ γὰρ ὦ ἄνδρες, ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδὲν, ἀλλὰ πάντα μοι
κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ.

νῦν δὲ



νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.

Ἀντιφάνους.

σφόδρα τί ἐστὶν ὁ βίος ἡμῶν οἴνῳ προσφερής,
ὅταν ᾖ τὸ λοιπὸν μικρὸν, ὄξος γίνεται.

Τοῦ αὐτοῦ.

πρὸς γοῦν τὸ γῆρας ὥσπερ ἐργαστήριον
ἅπαντα τἀνθρώπινα προσφοιτᾷ κακά.

Τοῦ αὐτοῦ.

τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν.
πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα.

Τοῦ αὐτοῦ.

γῆρας ὡς ἅπασι τοῖς ζητοῦσί σε
λέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

Ἀλέξιδος.

ἤδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει.

Μενάνδρου.

πικρόν ἐστι γέρων ἐν οἰκίᾳ μένων.

Ἡρώδου.

ἐπὴν τὸν ἑξηκοστὸν ἥλιον κάμψῃς,
ὦ Γρύλλε Γρύλλε, θνῆσκε καὶ τέφρη γίνευ.
ὡς τυφλὸς ὁ ὑπὲρ κεῖνο τοῦ βίου καμπτήρ.

Ἀντιφάνους.

οὐδεὶς τὰ πατρῷά πω γέρων κατεδήδοκεν,
ἀλλ' οὐδὲ κατεμόρανεν, οὐδ' ἐλύσατο πορνίδιον,
οὐδὲ θυροκόπων ὦφλε δίκην.
οὕτω τὸ γῆρας σωφρονοῦν οὐκ εὐτυχεῖ.

Μενεκράτους.

γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς τις εὔχεται. ἢν δέ ποτ' ἔλθῃ
μέμφεται, ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

 Σοφο-

Universidad de Deusto
Biblioteca



Σοφοκλέους.

οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζωή.
πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά,
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

Κράτητος.

οὐ γὰρ χρόνος μ' ἔκαμψε τέκτων μὲν σοφός,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

Διφίλου.

πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος, ὦ ξένε.
χαίρει μεταπλάττων πάντας ἐπὶ τὰ χείρονα.

Εὐριπίδου.

ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
ἥ τ' Ἀφροδίτη τοῖς ἐρῶσιν ἄχθεται.

Τοῦ αὐτοῦ.

ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

Τοῦ αὐτοῦ.

ἀνειμένον τι χρῆμα πρεσβυτῶν γένος
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.

Ἰσοκράτους.

Ἀλλ' οὕτω τὸ γῆρας ἐστὶ δυσάρεστον καὶ μεμψίμοιρον καὶ μικρολόγον, ὥστε πολλάκις ἤδη τήν τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἣν οὐδεὶς ἄλλος καταπεφρόνηκεν.

Ἐρατοσθένης τῆς ἡλικίας ἔφη τὸ μὲν ἀκμάζον ἔαρ εἶναι· τὸ δὲ κατὰ ἀκμήν, θέρος καὶ φθινόπωρον· χειμῶνα δὲ τὸ γῆρας.

Δημοκρίτου.

Αὐξανομένου τοῦ σώματος, συναυξάνονται φρένες· γηράσκοντος δὲ συγγηράσκουσι, καὶ εἰς τὰ πρά-





γματα πάντα ἀμβλυώνονται.

Κάτων γέροντι πονηρευομένῳ, ἔφη· τί ἄνθρωπε τῷ γήρᾳ κακὰ πολλὰ ἔχοντι, τὴν ἐκ τῆς πονηρείας αἰσχύνην προστίθης;

Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητὴς ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑώρα μόλις πορευόμενον, καὶ ἠρώτα τί ποιεῖς; ἔφη, κατὰ σχολὴν ἀποθνήσκω.

Πατροκλῆς τὸ γῆρας τοῦ βίου ἔλεγε χειμῶνα.

## ΟΤΙ ΤΟ ΓΗΡΑΣ ἀνεπαχθές.

Ἀναξανδρίδου.

ΟΝ τι τὸ γῆρας ἐστὶν ὡς οἴει πάτερ
τῶν φορτίων μέγιστον, ἀλλ' ὃς ἂν φέρῃ
ἀγνωμόνως αὔτ' οὗτος ἐστὶν αἴτιος.
οὐδ' εὐκόλως ἐνίοτε κομίζειν ποιεῖ
μεταλαμβάνων ἐπιδέξι' αὐτὸ τὸν τρόπον,
λύπην τ' ἀφαιρῶν, ἡδονήν τε προστιθείς·
λύπην δὲ ποιῶν, εἴ τις δυσκόλως ἔχει.

Σοφοκλέους.

οὐκ ἔστι γῆρας τῶν σοφῶν ἐν οἷς ὁ νοῦς
θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.
προμήθεια γὰρ κέρδος ἀνθρώποις μέγα.

Ἀναξιμένους.

Τοῖς γὰρ ἀστείοις πρεσβύταις, ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὐξάνονται.

Σωκράτους.

Ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας ἀλυπίας δεῖται.

Ξενοφῶν περὶ Ἀγησιλάου φησί· ποίας γὰρ νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας;

## ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ.

Καλλιμάχου.

Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσσα καρήατι τῆμος ἔδωκα,
ξανθὰ σὺν εὐόδμοις ἀκραλιπῆ στεφάνοις,
ἄπνοα πάντ' ἐγένοντο παραχρῆμα, ὅσσα τ' ὀδόντων
ἔνδοθι νείαιράν τ' εἰς ἀχάριστον ἔδυ,
καὶ τῶν οὐδὲν ἔμεινεν ἐσαύριον. ὅσσα δ' ἀκουὰς
εἰσεθέμην, ἔτι μοι μοῦνα πάρεστι τάδε.

:ventrem.

Εὐριπίδου.

τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνον,
ἄφωνα καὶ φωνοῦντα συλλαβὰς τιθεὶς,
ἐξηῦρον ἀνθρώποισι γράμματ' εἰδέναι.
ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς,
τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς.
παισίν τ' ἀποθνῄσκοντα χρημάτων μέτρον
γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.
ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ,
δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν.

Αἰσχύλου.

καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
ἐξηῦρον αὐτοῖς. γραμμάτων δὲ ξυνθέσιν
μνήμην ἁπάντων μουσομήτορ' ἐργάτιν.

Εὐριπίδου.

καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει,
λόγου γὰρ ἐσθλοῦ φάρμακον φόβου βροτοῖς.

Τοῦ αὐτοῦ.

οὐ παύσομαι τὰς Χάριτας ταῖς Μούσαις συγκαταμιγνὺς ἡδίσταν



συζυγίαν, μὴ ζῴην μετ' ἀμουσίας.

Φιλήμονος.

Οὐχὶ μόνον εὗρε πῶς λαλήσωμεν αὐτοῖς, ἀπέχοντες πολὺν ἀπ' ἀλλήλων χρόνον. οὐδ' ὃν τρόπον μηδέποτε μηδεὶς πάλιν ἐπιβλέψεται ἡμῶν, μηδ' ἐν ἐμβλέψας δέ που τὰ κατὰ τοῦ χρόνου τοῦ παντὸς, εἴσετ', ἀλλὰ ψυχῆς ἰατρὸν κατέλιπε τὰ γράμματα.

Δημοκρίτου.

ἰσχυρὸν ἐς πειθὼ λόγος γίνεται.

Σωκράτους.

Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων· ἐν δὲ τῷ ζῆν, ὁ λόγος τοῦ πλούτου.

Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα.

## ΠΕΡΙ ΔΕΙΛΙΑΣ.

Σοφοκλέους.

Πάντα τοι τῷ φοβουμένῳ ψοφεῖ.

Εὐριπίδου.

δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
ἀριθμὸν, ἀλλ' ἄπεισι, κἂν παρῶσιν ὅμως.

Σοφοκλέους.

τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς ὦ παῖ φιλεῖ
Ἄρης συναίρειν. οἱ δὲ τῇ γλώσσῃ θρασεῖς
φεύγοντες ἄτας, ἐκτός εἰσι τῶν κακῶν.
Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται.

Εὐριπίδους.

οὔτοι νομίζω σοφὸν, ὃς ἂν μέλλων θανεῖν,
οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλει.



Universidad de Deusto Biblioteca

Φιλήμονος.

καλὴ μὲν ὄψις, αἱ δὲ δειλαῖαι φρένες.

Εὐριπίδου.

ὁ δ᾽ ἡδὺς αἰὼν, ἡ κακή τ᾽ ἀνανδρία
οὔτ᾽ οἶκον, οὔτε πόλιν ὀρθώσειεν ἄν.

Σοφοκλέους.

βοᾷ τις ὦ ἀκούετε, ἢ μάτην ὑλακτῶ.
πάντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

Ομήρου.

τίπτε σὺ δέδοικας πόλεμον καὶ δηϊοτῆτα;
εἴπερ γάρ τ᾽ ἄλλοι γε περικτεινώμεθα πάντες
νηυσὶν ἐπ᾽ ἀργείων, σοὶ δ᾽ οὐ δέος ἔστ᾽ ἀπολέσθαι.
οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων.

Διογένους.

Πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους, ἢ λυπεῖν τοὺς πειραθέντας. ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥστε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον. οἱ μὲν ἐν νηὶ χειμαζόμενοι οὐ περιμείναντες καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς ἀποσφάξαντες.

## ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

Εὐριπίδου.

Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ᾽ ὑπηρετεῖν,
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.

Σοφοκλέους.

μηδ᾽ ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.

Μενάνδρου.

χρηστοῦ πρὸς ἀνδρὸς μηδὲν ἐννόει κακόν,

δίκαιος



δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.

Τοῦ αὐτοῦ.

δίκαιος ἀνὴρ, τῷ τρόπῳ χρῆσθαι νόμῳ.

Τοῦ αὐτοῦ.

τὸ μηδὲν ἀδικεῖν, πᾶσιν ἀνθρώποις πρέπει.

Τοῦ αὐτοῦ

οὐ δεῖ γὰρ ἀδικεῖν τοὺς ἱκέτας. ἄλλως τε
καὶ ὅταν μετ᾽ εὐνοίας τινὸς μὴ πονηρᾶς
πταίωσιν. αἰσχρὸν γοῦν τοῦτ᾽ ἐστὶ πάνυ.

Εὐριπίδου.

Κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς
ἀνδρῶν δικαίων κἀγαθῶν περουσίαι.

l. χλιδή. ῆς. voluptas. mollities. τρυφή.:~

Τοῦ αὐτοῦ.

εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων
κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών.

Του αὐτοῦ.

φεῦ φεῦ τὸ νικᾶν τὰ δίκαια ὡς καλὸν μέγα,
τὰ μὴ δίκαια δὲ ὡς ἅπαντα χοῦ κακόν.
καὶ γλῶσσα γαῦρα, καὶ φθόνος τοῦ μὴ φθονεῖν,
ὅσῳ κάκιον μὴ καλῶς ὀγκωμένοις.

Αντιφάνους.

ὁ μηδὲν ἀδικῶν, οὐδενὸς δεῖται νόμου.
ὁ καλῶς ἔχων τι κρεῖττον ἐστὶ καὶ νόμου.

Σόλωνος.

Μνημοσύνης καὶ Ζηνὸς ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι πιερίδες κλῦτέ μοι εὐχομένῳ.
ὄλβον μοι πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν.
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν·

τοῖσι

Universidad de Deusto Biblioteca

τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ πικρὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω, πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοὶ παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν.
ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος.
οὐκ ἐθέλων ἕπεται, ταχέως δ' ἀναμίσγεται ἄτῃ,
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός.
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
οὐ γὰρ δὴ θνητοῖς ὕβρεος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος. ἐξαπίνης δὲ
ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν.
ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας γῆν κατὰ πυροφόρον,
δῃώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
οὐρανόν. αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν.
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἔστιν ἰδεῖν.
τοιαύτη Ζηνὸς πέλεται τίσις· οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος.
αἰεὶ δ' οὔτε λέληθε διαμπερὲς, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον. οἳ δὲ φύγωσιν
αὐτοὶ μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ.
ἤλυθε πάντως, αὐτίκ' ἀναίτια ἔργα τίνουσιν.
ἢ παῖδες τούτων ἡγεμόνων ὀπίσω.
θνητοὶ δ' ὧδε νοοῦμεν ὁμῶς ἀγαθός τε κακός τε,
ἐν δὴν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει.

πρίν τι



πρίν τι παθεῖν, τότε δ' αὖτις ὀδύρεται. ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.
χ' ὅς τις μὲν νούσοισιν ὑπ' ἀργαλέοισι πιεσθῇ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ,
καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων.
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος, ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν, χρήζων οἴκαδε κέρδος ἄγειν.
ἰχθυόεντ' ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος.
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσι καμπύλ' ἄροτρα μέλει.
ἄλλος ἀθηναίης τε καὶ ἡφαίστου πολυτέχνεω
ἔργα λα εἰς χειροῖν ξυλλέγεται βίοτον.
ἄλλος ὀλυμπιάδων μουσάων πάρα δῶρα διδαχθεὶς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον.
ᾧ συνομαρτήσασι θεοὶ, τὰ δὲ μέρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερά.
ἄλλοι παιῶνος πολυφαρμάκου ἔργα ἔχοντες
ἰητροὶ, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίνεται ἄλγος,
κοὐκ ἄν τις λύσαι ἤπια φάρμακα δούς.
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἁψάμενος χοροῖν, αἶψα τίθησ' ὑγιῆ. ·statin·
μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλὸν,

δῶρα

Universidad de Deusto Biblioteca

negotijs

δῶρα δ' ἄφυκτα θεῶν γίνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐφ' ἔργμασιν, οὐδέ τις οἶδε
τί μέλλει σχήσειν χρήματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος, οὐ προνοήσας,
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσι,
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.
οἱ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι, τίς ἂν κορέσειεν ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι.
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψει τισομένην ἄλλοτε δ' ἄλλος ἔχει.

Ἀγησιλάου.

Ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος, μὴ παρούσης δικαιοσύνης. εἰ δὲ δίκαιοι πάντες γίνοιντο, μηδὲ ἀνδρείας δεήσεσθαι.

Δημοσθένους.

Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου. χρήματα μὲν γάρ ἐστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥάδιον πρίασθαι.

Δημοκρίτου.

Ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μὴ ἐθέλειν.

Τοῦ αὐτοῦ.

μοῦνοι θεοφιλέες ὅσοις ἐχθρὸν τὸ ἀδικέειν.

Ἀριστείδης ὁ δίκαιος ἐρωτηθείς, τί ἐστι τὸ δίκαιον, τὸ μὴ ἀλλοτρίων ἐπιθυμεῖν ἔφη.

Αἰσχρόν, τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι.





## ΠΕΡΙ ΔΙΑΒΟΛΗΣ.

Μενάνδρου.

Οὐδὲν διαβολῆς ἐστιν ἐπιπονώτερον·
τὴν ἐν ἑτέρῳ γὰρ κειμένην ἁμαρτίαν
ἀεὶ μέμψιν ἰδίαν αὐτὸν ἐπάναγκες λαβεῖν.

Τοῦ αὐτοῦ.

τὸ δοκεῖν μὲν διαβολὴν ἔχει μείζω τοῦ ποιεῖν.

Τοῦ αὐτοῦ.

ὅστις δὲ διαβολαῖσι πείθεται ταχύ,
ἤτοι πονηρός ἐστιν αὐτὸς τοὺς τρόπους,
ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Τοῦ αὐτοῦ.

οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρα ἦ ψευδής
ἐπίσταντ' αὐξάνειν αὐτὴν τινάς, δι' οὓς
φυλάττεσθαι τὰ τοιαῦτα ὀρθῶς ἔχει.

Κλεάνθους.

κακουργότερον οὐδὲν διαβολῆς ἐστί πω.
λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον
μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

Ἰσοκράτους.

Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσι.

Δημοσθένους.

Διαβολὴ καιρῷ μὲν ἰσχυρὰ ἐργάζεται τοῖς ἀκούουσι τὴν ὑπόληψιν. χρόνῳ δὲ πάντων ἀσθενεστέρα γίνεται.

## ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ, ΟΤΙ ΕΥ- γενεῖς οἱ κατὰ ἀρετὴν ζῶντες.

Εὐριπίδου.

ΠΕρισσόμυθος ὁ λόγος
εὐγένειαν εἰ βρότειον εὐλογήσομεν.
τὸ γὰρ πάλαι καὶ πρῶτον
ὅτ' ἐγενόμεθα διὰ δ' ἔκρινεν
ἁ τεκοῦσα γᾶ βροτοὺς
ὁμοίαν χθὼν ἅπασιν
ἐξεπαίδευσεν ὄψιν.
ἴδιον οὐδὲν ἔχομεν.
μία δὲ γονὰ τό τ' εὐγενὲς καὶ τὸ δυσγενές,
νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.
τὸ φρόνιμον εὐγένεια, καὶ τὸ συνετὸν ὁ θεὸς
δίδωσιν οὐχ ὁ πλοῦτος.

Τοῦ αὐτοῦ.

οὐ μὴ φρονήσηθ' οἱ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
κρίνετε, καὶ τοῖς ἤθεσι τοὺς εὐγενεῖς.
οἱ γὰρ τοιοίδε τὰς πόλεις οἰκοῦσιν εὖ
καὶ δώμαθ'. αἱ δὲ σάρκες αἱ κεναὶ βροτῶν.

Ἀνάχαρσις ὀνειδιζόμενος, ὅτι Σκύθης ἐστὶν, εἶπεν· τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ.

Φαλάριδος.

Σεμνύνεσθαι μὲν ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν ἐπ' εὐγενείᾳ, οὐκ ἀπεικός ἐστι.

Εὐριπίδου.

εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά.
ὁ μὲν γὰρ ἐσθλὸς, εὐγενὴς ἐμοί γ' ἀνήρ.

ὁ δ' οὐ



ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς
Ζηνὸς πέφυκε, δυσγενὴς εἶναι δοκεῖ.

Θεοδέκτου.

ἐγὼ μὲν οὔποτ' εὐγένειαν ᾔνεσα
τὴν προστάτουσι χρωμένην ἀναξίοις.

Ἐπιχάρμου.

ἀπολεῖ με τὸ γένος. μὴ λέγ', εἰ φιλεῖς ἐμέ.
μήτ' ἐφ' ἑκάστῳ τὸ γένος. οἷς ἂν φύσει
ἀγαθὸν ὑπάρχει μηδὲν οἰκεῖον προσὸν,
ἐκεῖσε καταφεύγουσιν εἰς κτήματα
καὶ τὸ γένος. ἀριθμοῦσί τε τοὺς πάππους.
οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἂν, οὐδ' εἰπεῖν ὅτῳ
οὐκ εἰσὶ πάπποι. πῶς γὰρ ἐγένοντό ποτε;
εἰ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὃς ἂν εὖ γεγονὸς ᾖ τῇ φύσει πρὸς τἀγαθά,
κἂν Αἰθίοψ ἡ μήτηρ, ἐστὶν εὐγενής.
Σκύθης τις ὄλεθρος, ὁ δ' Ἀνάχαρσις οὐ Σκύθης.

Εὐριπίδου.

οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,
ἐπ' ἀγαθοῖσι δ' ἀνδρῶν.

Μενάνδρου.

οὐθὲν γένους γένος γὰρ οἶμαι διαφέρειν·
ἀλλ' εἰ δικαίως ἐξετάσης καὶ γνήσιος
ὁ χρηστός ἐστιν, ὁ δὲ πονηρὸς καὶ νόθος.

Εὐριπίδου.

ἦ που κρεῖσσον εὐγενείας τὸ καλῶς πλάσσειν.

Ἀστυδάμαντος.

Universidad de Deusto
Biblioteca



κρεῖττον δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ,
τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν,
ἕνεκα τῶν ἔστιν εὑρεῖν ἄνδρ' ἕνα.
καὶ τοῦτον οἱ ζητοῦντες εἰσὶ μυρίοι.

Εὐριπίδου.

φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα,
κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιοι.

Τοῦ αὐτοῦ.

ἐγὼ μὲν οὐκ οἶδ' ὅπως χρὴ σκοπεῖν χρεὼν
τὴν εὐγένειαν. τοὺς γὰρ ἀνδρείους φύσιν,
καὶ τοὺς δικαίους τῶν τέκνων δοξασμάτων,
κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.

Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι, εἶπε· καὶ μὴν διὰ τοῦτο ὤφελον θαυμάζεσθαι μᾶλλον, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται.

Σωκράτης ἐρωτηθεὶς, τί ἐστιν εὐγένεια; εὐκρασία, ἔφη, ψυχῆς καὶ σώματος.

Διογένης πυνθανομένου τινὸς, τίνες τῶν ἀνθρώπων εὐγενέστατοι; οἱ καταφρονοῦντες (εἶπε) πλούτου, δόξης, ἡδονῆς, ζωῆς. τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου.

Ἀντίγονος ὁ βασιλεὺς Βίωνα τὸν φιλόσοφον διαβληθέντα δυσγενῆ ἤρετο·
τίς πόθεν εἰς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες;
κἀκεῖνος εἶπεν, ἀλλ' ὀρθῶς ὦ βασιλεῦ, ὅταν τοξοτῶν χρείαν ἔχῃς, οὐκ ἐρωτῶντα τὸ γένος, ἀλλὰ τιθέντα τὸν σκοπὸν, τοὺς ἀρίστους τοξεύοντας προλαμβάνειν. οὕτως οὖν σὺ ἐπὶ τῶν φίλων ἐξέταζε, οὐ πόθεν εἰσὶν, ἀλλὰ τίνες.





## ΕΠΑΙΝΟΣ ΖΩΗΣ.

Εὐριπίδου.

Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες, καὶ μακρὸν χρόνου βίον.
ἂν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν. τὸ γῆρας οὐκ ἔτ' ἐστ' αὐτοῖς βαρύ.

Τοῦ αὐτοῦ.

πᾶς ἀνὴρ κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.

Τοῦ αὐτοῦ.

πᾶσι γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.

Τοῦ αὐτοῦ.

τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν
τὸ νέρθεν οὐδὲν, μαίνεται δ' ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖττον, ἢ θανεῖν καλῶς.

Τοῦ αὐτοῦ.

πανταχοῦ ζῆν ἡδὺ μᾶλλον, ἢ θανεῖν τοῖς σώφροσιν.

Τοῦ αὐτοῦ.

ὦ λαμπρὸς αἰθὴρ, ἡμέρας θ' ἁγνὸν φάος,
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσι καλῶς,
καὶ τοῖσι δυστυχοῦσιν ὧν πέφυκ' ἐγώ.

Τοῦ αὐτοῦ.

ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.

Ὁμήρου.

βουλοίμην περ ἀρούρας ἐὼν θητευέμεν ἄλλῳ
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσι νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

Σοφοκλέους.

τὸ ζῆν γὰρ ὦ παῖ παντὸς ἥδιστον γέρας,
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.

Λυκόφρονος.

ἀλλ' ᾤκισα μὲν ἢ πρόσω τοῦ κατθανεῖν,
ᾄδης προθεῖται τοῖς δεδυστυχηκόσιν.
ὅταν δ' ἐφορμῇ κῦμα λοίσθιον βίου,
τὸ ζῆν ποθοῦμεν, οὐ γὰρ ἔστ' αὐτοῦ κόρος.

Εὐριπίδου.

οὐ ταὐτὸν ὦ παῖ τὸ βλέπειν τῷ κατθανεῖν·
τὸ μὲν γὰρ οὐδὲν, τῷ δ' ἔνεισιν ἐλπίδες.

Ἀπολλοδώρου.

ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν.
νῦν δ' ὅτε γερόντων ἐκφορὰς ἴδω,
κλαίω. πρὸς ἐμὲ γάρ ἐστι τοῦτο κεῖν' ὁδός.

Ἐκ τῶν Ἀρίστωνος.

Πολλοὶ σοφοὶ γηραιοὶ φιλοζωοῦσι. καὶ γὰρ οἱ ὄρνεις γήμαντες, φιλοζωοῦσιν, ἵν' ἐκθρέψωσι τὰ τέκνα· καὶ ἔτοι ὄρνεις ἄρα τοῦ ἐπήβολοι γενόμενοι, ἐφίενται αὐτὴν ἐκθρέψαι.

## ΠΕΡΙ ΗΣΥΧΙΑΣ.

Εὐριπίδου.

Ζηλῶ σε γέρον, ζηλῶ δὲ ἀνδρῶν ὃς ἀκίνδυνον βίον ἐξεπέρασας ἀγνὼς, ἀκλεής. τοὺς δ' ἐν τιμαῖς ἧσσον ἐπαινῶ.

Τοῦ αὐτοῦ.

καλὸν δ' ἔξω πραγμάτων ἔχειν πόδα
εὐβουλίας τυχόντα τοῦ ἀμείνονος.

Τοῦ αὐτοῦ.

ὁ πλεῖστα πράττων, πλεῖστ' ἁμαρτάνει βροτῶν.

Αἰσχύλου.

τὰ μηδὲν ὠφελοῦντα, μὴ πόνει μάτην.

Ἐπιχάρμου.

ἁ δ'



ἁ δ' ἡσυχία χαρίεσσα γυνά
καὶ σωφροσύνας πλατίον οἰκεῖ.

Μενάνδρου.

ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους
ἐρημία, καὶ τῷ μελετῶντι μηδὲν πονηρόν,
ἱκανὸν κτῆμ' ἀγρὸς τρέφων καλῶς.
ἐκ τῶν ὄχλων δὲ ζῆλος, ἥ τε κατὰ πόλιν αὕτη τρυφὴ
λάμπει μὲν, εἰς δ' ὀλίγον δὲ χρόνον.

Εὐριπίδου.

ὅστις δὲ πράσσει πολλὰ, μὴ πράσσειν παρὸν
μωρὸς, παρὸν ζῆν ἡδέως ἀπράγμονα.

Τοῦ αὐτοῦ.

ὁ δὲ τῆς ἡσυχίας βίοτος
καὶ τὸ φρονεῖν ἀσάλευτον μένει,
καὶ ξυνέχει δώματα.
πόρρω γὰρ ὅμως αἰθέρα ναίοντες,
ὁρῶσι τὰ βροτῶν οὐρανίδαι.

Ἐκ τῶν Βίωνος βουκολικῶν.

εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μόνα
κῦδος ἐμοὶ θήσοντι τά μοι πάρος ὤπασε μοῖρα.
εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλέονα μοχθεῖν.
εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν
ἢ Κρονίδας, ἢ μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι
τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ
ἦν τάχα μοχθήσαντι ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μήονα πάντων,
ἐς πόσον ἆ δειλοὶ καμάτως κεἰς ἔργα πονεῦμες;
ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας

 βάλλομες

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca

βαλλόμενοι ἱμείροντες ἀεὶ πολὺ πλέονος ὄλβου;
λαθόμεθ' ἢ ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα,
χὡς βραχὺν ἐκ μοίρας λάχομεν χρόνον.

Πλουτάρχου ἐκ τοῦ περὶ ἡσυχίας.

Σοφὸν ἔοικε χρῆμα εἶναι τὸ τῆς ἡσυχίας, πρός τε τὰ ἄλλα καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην. λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥ τις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα.

## ΠΕΡΙ ΘΑΝΑΤΟΥ.

Αἰσχύλου.

Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ.
οὔτ' ἄν τι θύων, οὔτ' ἐπισπένδων ἀνοῖς.
οὐ βωμός ἐστιν, οὐδὲ παιωνίζεται.
μόνου δὲ πειθὼ δαιμόνων ἀποστατεῖ.

Ὁμήρου.

ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοί τε τρίποδες, καὶ ἵππων ξανθὰ κάρηνα.
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λῃϊστὴ
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

Εἰρίννης.

τοῦτο κεν εἰς ἀΐδαν κενεὰ διανήχεται ἀχὼ
σιγᾷ δ' ἐν νεκύεσσι, τὸ δὲ σκότος ὄσσε κατέρρει.

Σιμωνίδου.

πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα Χάρυβδιν.
αἱ μεγάλαι ἀρεταί, καὶ ὁ πλοῦτος.

Μενάνδρου.

ἀθανασίας δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα,
ἀλλ' ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί.





Σοφοκλέους.

σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.

ξυνάζω // sopio.

Τοῦ αὐτοῦ.

ὅστις θνητῶν θάνατον ὀρρωδεῖ λίαν,
μωρὸς πέφυκε, τῇ τύχῃ μέλει τάδε.
ὅταν γὰρ ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ,
οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγῃ μολών.

Ἀνακρέοντος.

πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι
κάρη δὲ λευκόν.
χαρίεσσα δ' οὐκ ἔθ' ἥβη πάρα
γηραλέοι δ' ὀδόντες.
γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται.
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον
δεδοικώς. ἀΐδεω γάρ ἐστι δεινὸς μυχός,
ἀργαλέη δ' ἐς αὐτὸν κάθοδος. καὶ γὰρ ἑτοῖμον
καταβάντι μὴ ἀναβῆναι.

Εὐριπίδου.

βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

Ἀριστοφάνους.

τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον, λῆρος πολύς,
πᾶσι γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

Ποσειδίππου.

ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν
τῆς ἀθανασίας κρεῖττον, οὐδὲν εὔχεται.

Λεωνίδου.

εὔθυμος ὤν, ἔρεσσε τὴν ἐπ' ἀΐδος.

Universidad de Deusto Biblioteca



ἄκαρπον ἕρπων. οὐ γάρ ἐστι δύσβατος,
οὐδὲ σκαλιωδός, οὐδενὶ πλέον πλάνης.
εὐθεῖα δὴ μάλιστα καὶ κατακλινὴς
ἅπασα κἠκμεμυκότων ὁδεύεται.

Ἀριστοτέλους.

ἄφυκτόν ἐστι τὸ τῆς πεπρωμένης κακόν.

Αἰσχίνου.

Οὐχ ὁ θάνατος δεινόν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά.

Ἐπικούρου.

Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς. τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ· τὸ δὲ ἀναισθητοῦν, οὐδὲν πρὸς ἡμᾶς.

Ἑρμάχου.

Εὐκαταφρόνητος ὁ θάνατος. ἄπρακτον δὲ τὸ χρόνιον τοῦ πάσχοντος ἀνῃρημένου.

f. Inefficax.// ἄπρακτον

Μητροδώρου.

Πρὸς μὲν τὰ ἄλλα δυνατὸν ἀσφάλειαν πορίσασθαι. χάριν δὲ θανάτου πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

Γοργίας ὁ ῥήτωρ ἤδη γηραιὸς ὑπάρχων ἐρωτηθείς, εἰ ἡδέως ἀποθνήσκοι, μάλιστα εἶπεν. ὥσπερ γὰρ ἐκ σαπροῦ καὶ ῥέοντος συνοικιδίου, ἀσμένως ἀπαλλάττομαι.

Πορφυρίου.

Ὁ θάνατος διπλοῦς. ὁ μὲν οὖν συνεγνωσμένος, λυομένου τοῦ σώματος ἀπὸ τῆς ψυχῆς· ὁ δὲ τῶν φιλοσόφων λυομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ οὐ πάντως ὁ ἕτερος τῷ ἑτέρῳ ἕπεται.





## ΕΠΑΙΝΟΣ ΘΑΝΑΤΟΥ.

Εὐριπίδου.

Ἄκουσον ὥς σοι τέρψιν ἐμβαλῶ φρενί.
τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς.

Νεοπτολέμου.

ὦ θάνατ', εἴθ' εἴης αὐτάγρετος ὄφρ' ἂν ἐλθοίμην
πρόπιτον, καί κ' ἐχθρὸς ἐὼν πολὺ φίλτατος εἴης.

Εὐριπίδου.

εἴ τι δὴ κάτω χθονός, εἴη γε μέντοι μηδέν.
εἰ γὰρ ἕξομεν κἀκεῖ μερίμνας οἱ θανούμενοι
βροτῶν, οὐκ οἶδα ποῖ τις τρέψεται. τὸ γὰρ θανεῖν,
κακῶν μέγιστον φάρμακον νομίζεται.

Σοφοκλέους.

ἀλλ' ἔσθ' ὁ θάνατος λοῖσος ἰατρὸς νόσων.

f. vltimus. Sed // In lexico legitur. λοῖσθος. // οὐ.

Μενάνδρου.

ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.

Εὐριπίδου.

ἅλις ὦ βιοτά, πέραινε, πρίν τινα συντυχίαν
ἢ κτεάνεσιν ἐμοῖς, ἢ σώμασι τοῖς δὲ γενέσθαι.

Σωτάδου.

πάντων λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.

f. portus. λιμήν.

Αἰσχύλου.

ὦ θάνατε, ποίαν μή μ' ἀτιμάσῃς μολεῖν.
μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρός,
ἄλγος δ' οὐδὲν ἔπεται νεκροῖς.

Σοφοκλέους.

τὸ δ' ἴσως ἄρ' οὐδὲν πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίνεται.

Universidad de Deusto Biblioteca



Εὐριπίδου.

τὸ ζῆν δὲ θνήσκειν ἐστὶ πλὴν ὅμως βροτῶν.
νοσοῦσι δ᾽ οἱ βλέποντες, οἱ δ᾽ ὀλωλότες,
οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

*ὁμῶς. Simul, similiter. hoc est vita nihil est aliud a morte nisi viventes. hoc est βροτοὶ id est mortales quos non licet appellare viventes. βροτοὶ γὰρ οὐ ζῶσι. vel οὐ ζῶσι.*

Ἀναξαγόρας ἔλεγε δύο διδασκαλίας εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

Εὐριπίδου.

ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένους
τὸν ζῶντα θρηνεῖν εἰς ὅσ᾽ ἔρχεται κακά,
τὸν δ᾽ αὖ θανόντα καὶ πόνων πεπαυμένον,
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

Ἐπίγραμμα εἰς Κλέοβιν, καὶ Βίτονα.

*de hoc epigramate habeo in consolatoria plutarchi ad apollonium fol. 10. pla. 1.*

οἵδε Βίτων Κλέοβίς τ᾽ ἐν σώμασιν οἰκείοισιν
ζεύγλην ζευξάμενοι μητέρα τὴν ἀγέτην
ἥρας εἰς ἱερόν. λαοὶ δέ μιν ἐζήλωσαν
εὐτεκνίας παίδων, ἡ δὲ χαρεῖσα θεᾷ
εὔξατο παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,
οὕνεκ᾽ ἐτίμησαν μητέρα τὴν σφετέρην.
αὐτοῦ δ᾽ εὐνηθέντε λίπον βίον ἐν νεότητι,
ὡς τόδ᾽ ἄριστον ἐὸν καὶ μακαριστότατον.

*τὴν. suam* *μιν. illam.*

Ἐκ τῶν Νικολάου ἐθῶν συναγωγῆς.

Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσιν.

Δημοσθένους.

Τίς γὰρ οὐκ οἶδε τῶν ἁπάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς τεθνεῶτας δὲ οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἀτιμάσει.

ΠΕΡΙ



## ΠΕΡΙ ΙΑΤΡΩΝ ΚΑΙ ΙΑΤΡΙΚΗΣ.

Ὁμήρου.

Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
ἰούς τ᾽ ἐκτάμνειν, ἐπί τ᾽ ἤπια φάρμακα πάσσειν.

*πάσσω. spargo. tingo.*

Εὐριπίδου.

μέλλοντ᾽ ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον,
ἰάσατ᾽ ἤδη μᾶλλον ἢ τεμὼν χρόα.

Φιλήμονος.

ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι
ἐστίν. ποιῆσαι δ᾽ αὐτὸν οὐχὶ ῥᾴδιον.
τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ᾽ ἐγώ,
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας, εἶτ᾽ ἐὰν πταίσωσί τι
αὐτοὺς ποιοῦντας πάνθ᾽ ὅσ᾽ οὐκ εἴων τότε
ἑτέρους, τότ᾽ ἀλγεῖν καὶ θεωρεῖν ἐστ᾽ ἴσως.

Τοῦ αὐτοῦ.

τίς ἐστιν οὗτος, ἰατρός. ὡς κακῶς ἔχει ἅπας
ἰατρὸς ἂν κακῶς μηδεὶς ἔχῃ.
μόνῳ δ᾽ ἰατρῷ τούτῳ καὶ συνηγόρῳ
ἔξεστιν ἀποκτείνειν μέν, ἀποθνῄσκειν δὲ μή.

Τρόφιλος ἰατρὸς ἐρωτηθείς, τίς ἂν γένοιτο τέλειος ἰατρός; ὁ τὰ δυνατά, ἔφη, καὶ τὰ μὴ δυνατὰ δυνάμενος διαγινώσκειν.

Πλουτάρχου ἐκ τῶν ὑγιεινῶν παραγγελμάτων.

Τῶν δ᾽ ἐλευθερίων τεχνῶν ἰατρική, τὸ μὲν γλαφυρὸν καὶ περιττὸν, καὶ ἐπιτερπὲς οὐδεμιᾶς ἐνδεέστερον ἔχει. θεωρητικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι τὴν σωτηρίαν, καὶ τὴν ὑγίειαν.

Ἡλιο-

Universidad de Deusto
Biblioteca



Ἡλιοδώρου.

Πάθος ἅπαν, τὸ μὲν ὀξέως γιγνωσκόμενον εὐβοήθητον· τὸ δὲ χρόνῳ παραπεμπόμενον, ἐγγὺς ἀνίατον.

## ΠΕΡΙ ΚΑΚΟΔΑΙΜΟΝΙΑΣ.

Ὁμήρου.

Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
αἴσῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ' ἐπιδόντα.
υἷάς τ' ὀλλυμένους, ἑλκυθείσας τε θύγατρας
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα ποτὶ ἄστυ ἐν αἰνῇ δηϊοτῆτι.

Μενάνδρου.

γέροντα δυστυχοῦντα τῶν ἑαυτοῦ κακῶν
ἐπαγομένων λήθην, ἀνέμνησας πάλιν,
ἔπειτα τυχεῖν τ' ἤγειρας.

Σοφοκλέους.

τοῖς γὰρ κακῶς πράσσουσι μυρία μία
νὺξ ἐστὶν εὖ παθόντα ἢ τέρα θανεῖν.

Μενάνδρου.

εὔπιστον ἀτυχῶν ἐστὶν ἄνθρωπος φύσει.
τὸ πλησίον γὰρ οἴεται μᾶλλον φονεῖν
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.

Ἄμφιδος.

ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις,
ἥκιστα τούτοις πλησιάζων ἥδεται.

Φιλήτου.

ἦ μὲν δὴ πολέεσσι πεφύρησαι χαλεποῖσι
θυμέ, γαληναίῃ δ' ἐπιμίσγεαι οὐδ' ὅσον οὖσον

ἀμφὶ



ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνῖαι πετεύχασιν.

Τοῦ αὐτοῦ.

τῶν οὔ μοι πλέων γαίης ὕπερ, οὐδὲ θαλάσσης
ἐκ Διὸς ὡραίων ἔχομεν ὧν ἐτέων.
οὐδ' ἀπόμοιρα μελέω κακῶν φέρει, ἀλλὰ φέρουσιν
ἔμπεδα καὶ τοῖς ἄλλα προσαυξάνεται.

Μενάνδρου.

ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὐτυχεῖν,
τὰ δ' ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι.

Διφίλου.

Ὦ σῶτερ κιαβίζου' ἡμῖν ἐνίοτ' ἡ τύχη ἓν ἀγαθὸν
ἐπιχέασα, τρί' ἐπαντλεῖ κακά.
Ἡράκλειτος, ἔφη, ὡς ἦθος ἀνθρώπῳ δαίμων.

Πλάτωνος.

Κατά γε τὴν ἐμὴν δόξαν ὦ Πῶλε ἀδικῶν τε καὶ ὁ ἄδικος, πάντως μὲν ἄθλιος. ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην, μηδὲ τυγχάνῃ τιμωρείας ἀδικῶν. ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην, καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

## ΠΕΡΙ ΛΥΠΗΣ, ΟΤΙ ΕΠΩδυνος τοῖς φροντίζουσιν.

Κλεαινέτου.

Λύπη γὰρ ὀργῆς τ' εἰς ἕνα ψυχῆς τόπον
ἐλθόντα, μανία τοῖς ἔχουσι γίνεται.

Μενάνδρου.

οὐκ ἔστι λύπης ἐάνπερ ὀρθῶς τις σκοπῇ
ἄλγημα μεῖζον, τῶν ἐν ἀνθρώποις φύσει.

Εὐρι.

Universidad de Deusto
Biblioteca



Εὐριπίδου.

αἴ ἐστι πρῶτον πάντων εἰδέναι τουτί,
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.
κἄστ᾽ οὗτος γ᾽ ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ
ἧσσον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεσθα, δρᾶν δ᾽ ἀμηχάνως ἔχει.

Τοῦ αὐτοῦ.

λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.

Τοῦ αὐτοῦ.

φρονῶ δ᾽ ἃ πάσχω, καὶ τόδ᾽ οὐ σμικρὸν κακόν.
τὸ μὴ εἰδέναι γοῦν ἡδονὴν ἔχει τινὰ
νοσοῦντα, κέρδος ἐν κακοῖς ἀγνωσία.

Τοῦ αὐτοῦ.

ὦ τέκν᾽ ἀκούσας, οἰκτρὰ γὰρ τὰ δυστυχῆ,
βροτοῖς ἅπασι κἂν θυραῖος ὢν κυρῇ.

Τοῦ αὐτοῦ.

λύπη μάλιστα γ᾽ ἡ διαφθείρουσά με.
δεινὴ γὰρ ἡ θεός, ἀλλ᾽ ὅμως ἰάσιμος.

Τοῦ αὐτοῦ.

ἀλλ᾽ οὐ γὰρ ὀρθῶς ταῦτα γενναίως ἴσως
ἔπραξας. αἰνεῖσθαι δὲ δυστυχοῦντ᾽ ἐγὼ μισῶ.

Μενάνδρου.

πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν
ὄντων μέγιστόν ἐστιν ἡ λύπη κακόν.

Σοφοκλέους.

τίκτουσι γάρ τι καὶ νόσους δυσθυμίαι.

Πινδάρου.

αἱ δὲ φρενῶν ταραχαὶ, παρέπλαγξαν καὶ σοφόν.





Ἀλέξιδος.

τῶν μετρίων αἱ μείζονες λῦπαι
ποιοῦσι τοῦ φρονεῖν μετάστασιν.

Εὐριπίδου.

λύπη μὲν, ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινι.
εἰ δ᾽ οὖν γένοιτο χρὴ, περιστέλλειν καλῶς
κρύπτοντα, καὶ μὴ πᾶσι κηρύσσειν τάδε.
γέλως γὰρ ἐχθροῖς γίνεται τὰ τοιάδε.

Ἀπολλοδώρου.

τοῖς γὰρ λυπουμένοις τε καὶ μεριμνῶσι
ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά.

Ποσειδίππου.

ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ᾽ ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

Σωκράτης ἐρωτηθεὶς, πῶς ἂν τις ἄλυπος διάγοι, τοῦτο ἀδύνατον, εἶπεν. οὐ γάρ ἐστι πόλιν ἢ οἰκίαν οἰκοῦντα, καὶ ἀνθρώποις ὁμιλοῦντα, μὴ λυπεῖσθαι.

Εὐριπίδου.

ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτοὺς, f. ποιμαίνω · pasco greges.
δεῖν δ᾽ αὖ χρόνων τε καὶ πεβῶν ῥιπτεῖν ἄπο, f. πημαίνω · noceo.
οὐκ ἐν σοφοῖσιν ἐστὶν, εὐχέσθω δ᾽ ὅμως
ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

Φιλήμονος.

οὕτως ὅταν ἐμπέσῃ τις εἰς τὸν νοῦν φόβος,
κἂν τοῦ καθεύδειν οὗτος, οὐκ ἐξέρχεται
νόσον πολὺ κρεῖττόν ἐστιν ἢ λύπην φέρειν.

Εὐφράτης ὁ σύρος τὴν γυναῖκα ἀποβαλὼν, ἔλεγεν· ὦ φιλοσοφία, τυραννικά σου τὰ ἐπιτάγματα. λέγεις, φίλει· καὶ ἂν ἀποβάλῃ τις, λέγεις, μὴ λύπου.

εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.

Αἰσχύλου.

φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

Εὐριπίδου.

ἐκ τῶν πόνων τοι τἀγαθ' αὔξεται βροτοῖς,
ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀργία
οὔτ' οἶκον, οὔτε βίοτον οὐδὲν ὠφελεῖ.

Τοῦ αὐτοῦ.

οὐκ ἂν δυναίμην μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.

Αἰσχύλου.

καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.

Σοφοκλέους.

οὔ τι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.
μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται.
ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόθος.

Φιλήμονος.

πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.
ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν.

Τοῦ αὐτοῦ.

ὡς ἡδέως μοι γέγονε τὰ πρότερα κακά.
εἰ μή τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

Εὐριπίδου.

οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.

Τοῦ αὐτοῦ.

οὐδεὶς γὰρ ὢν ῥᾴθυμος, εὐκλεὴς ἀνήρ·
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.





## ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ.

Εὐριπίδου.

Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,
μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει
μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.

Τοῦ αὐτοῦ.

ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν τοῖς δώμασι,
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος. αἱ δὲ διαλύσεις ῥᾴδιαι.

Μενάνδρου.

ὅταν πένης ὤν, καὶ γαμεῖν τις ἑλόμενος,
τὰ περὶ γυναικὸς ἐπιδέχηται χρήματα,
ἑαυτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.

Τοῦ αὐτοῦ.

δύ' ἔστ' ἃ κρίναι τὸν γαμεῖν μέλλοντα δεῖ,
ἤτοι προσηνῆ ὄψιν, ἢ χρηστὸν τρόπον.
τὴν γ' ὁμόνοιαν τὴν πρὸς ἀλλήλοις ποιεῖ.

Ἡσιόδου.

παρθενικὴν δὲ γαμεῖν, ὡς κ' ἤθεα κεδνὰ διδάξῃς,
πάντα μάλ' ἀμφὶς ἰδών, μὴ γείτοσι χάρματα γήμῃς.

Εὐριπίδου.

πᾶσι δ' ἀγγέλλω βροτοῖς ἐσθλῶν ἀπ' ἀνδρῶν
εὐγενῆ σπείρειν τέκνα. οὐ γάρ ποτ' ἂν πράξειαν
εἰς τέλος κακῶς.

Περικλῆς, ὁ τῶν Ἀθηναίων στρατηγὸς, δυοῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν πλουσίου καὶ ἀπαι-

δεύτου, τοῦ δὲ πένητος καὶ φιλολόγου, τούτῳ αὐτὴν ἐξέδωκεν. εἰπών, ὅτι ἄμεινόν ἐστι τοῦ ὄντος, ὁ δυνάμενος γενέσθαι πλούσιος.

## ΠΕΡΙ ΝΟΜΩΝ ΚΑΙ ΕΘΩΝ.

Εὐριπίδου.

Μὴ νεῖκος ὦ γεραιὲ τυράννοις τίθου,
σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.

Μενάνδρου.

οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν,
ἀλλ' ἀντιτάττεσθ', εἰ δὲ μή, τ' ἄνω κάτω ἡμῶν
ὁ βίος λήσει μεταγραφεὶς ὅλος.

Εὐριπίδου.

καὶ τοὺς πονηροὺς μήποτ' αὔξειν ἐν πόλει.
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
ἢ πόλεως, ἐμπεσόντες εἰς ἀρχήν τινα,
σκιρτῶσιν ἀδόκητ' εὐτυχησάντων δόμῳ.

Τοῦ αὐτοῦ.

οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ νόμοι πόλει
καλῶς τεθέντες. ὅτε γὰρ ἀσθενέστερος
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει,
νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων.

Μενάνδρου.

Summum Jus Summa est Injuria. facit ad hoc plana. 215.

καλὸν οἱ νόμοι σφόδρ' εἰσίν· ὁ δ' ὁρῶν τοὺς νόμους
λίαν ἀκριβῶς, συκοφάντης φαίνεται.

Σοφοκλέους.

τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον. τί μήν;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα

τιμαῖς



τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.
δεινόν τ' ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον, ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.

Πολυαίνου.

Ἔθος ἄρχεται μὲν ἀπὸ μικρῶν, ἐπιμελούμενον δὲ τὴν ἰσχὺν μείζω λαμβάνει.

Ἐρασιστράτου.

Εἰθισμένοι δὲ εἰσὶ καὶ οἱ σκύθαι, ὅταν διά τινα καιρὸν ἀναγκάζονται ἀσιτεῖν, ζώναις πλατείαις τὴν κοιλίαν διασφίγγειν, ὡς τῆς πείνης αὐτοὺς ἧττον ἐνοχλούσης. σχεδὸν καὶ ὅταν πλήρης ἡ κοιλία ᾖ διὰ τὸ κένωμα ἐν αὐτῇ μηδὲν εἶναι διὰ τοῦτο οὐ πεινῶσιν· ὅταν δὲ συμπεπτωκυῖα ᾖ, καί ὦμα οὐκ ἔχει.

Δαφολίβυες ὅταν συναχθῶσι πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων κατασβέσαντες τὸν λύχνον, εἰσέρχονται· καὶ ὁ τυχὼν, ἣν ἂν τύχῃ, λαμβάνει.

en balladolid quemaron unos destos λουτεράνος -

## ΠΕΡΙ ΝΑΥΤΗΛΙΑΣ καὶ ναυαγίου.

Σοφοκλέους.

Τί τοῦδ' ἂν χάρμα μεῖζον ἂν λάβοις ποτὲ,
τοῦ γῆς ἐπιψαύσαντα, κἀθ' ὑπὸ στέγῃ πυκνῇ
ἀκοῦσαι ψεκάδος, εὑδούσῃ φρενί. : plubia - ψεκάς.

 Ὁμήρου.

Universidad de Deusto Biblioteca

Ὁμήρου.

οὐ μὲν γάρ τι που ἐστὶ κακώτερον ἄλλο θαλάσσης
ἄνδρα τε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.

Τοῦ αὐτοῦ.

ὅστις διαπλεῖ θάλασσαν, ἢ μελαγχολᾷ,
ἢ πτωχός ἐστιν, ἢ θάνατος, τούτων τῶν τριῶν
ἑνός τ' ἀποτυχεῖν τοὐλάχιστον οὐκ ἔνι.

Ἀράτου.

τῆμος ὠθιερρύσσουσι νότοι, ὁπότ' αἰγοκερῆϊ
ἐμφορέητ' ἠέλιος. τότε δὲ κρύος ἐκ Διός ἐστι
ναύτῃ μαλικόωντι κακώτατον, ἀλλὰ καὶ ἔμπης
ἤδη πάντ' ἐνιαυτὸν ὑποστείρῃσι θάλασσα
πορφύρει. ἴκελοι δὲ κολυμβάσιν αἰθύῃσιν
πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες
ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι. οἱ δ' ἔτι πόρρω
κλύζονται, ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.

alos quervos marinos, ut planas // αἴθυια
κλύζω. mer//go.

Φιλήτα.

γαῖαν μὲν φανέουσι θεοί ποτε. νῦν δὲ πάρεστιν
αἰψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.

Ἀντιφάνους.

δύστηνος, ὅστις ζῇ θαλάττιον βίον.
τῶν γὰρ πλεόντων ζητεῖν ἑκατὸν στάδια
ἐλθεῖν που δὴ κρεῖττον, ἢ πλεῦσαι πλέθρον
πλείστῳ θάλατταν χειμώνων πολουμένους.

Εὐριπίδου.

ναῦς ἡ μεγίστη κρείσσων, ἢ μικρὸν σκάφος.

Μενάνδρου.

τὰ μεγάλα κέρδη ῥαδίως ἢ πλουσίους
τοὺς παραβόλως πλέοντας, ἢ νεκροὺς ποιεῖ.

Ἀντιφάνους.



Ἀντιφάνους.

ἐν γῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

Εὐφορίωνος.

τὴν δ' ἐκάλυψε θάλασσα λιλαιομένην βιότοιο,
καὶ οἱ πήχεος ἄκρον ὑπερφαίνοντο ταθέντος
ἀχρεῖα σπαίροντος ἅλις δολοπονίδαο
δυστήνου. ζωὴν δὲ μεθ' ὕδατος ἔμβαλε πᾶσι,
χεῖρας ὑπερπλάζων. ἅλμη δ' ἐκάλυψεν ὀδόντας.

Εὐριπίδου.

μακάριος, ὅς τις εὐτυχῶν οἴκοι μένει.
ἐν γῇ δ' ὁ φόρτος, καὶ πάλιν ναυτίλλεται.

Δημοσθένους.

Ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον, ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην, καὶ κυβερνήτην, καὶ πάντ' ἄνδρα ἑξῆς πρόθυμον εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ, τοῦτο σκοπεῖσθαι. ἐπειδὰν δὲ ἡ θάλαττα ὑπερέχῃ, μάταιος ἡ σπουδή.

## ΠΕΡΙ ΞΕΝΗΣ.

Εὐριπίδου.

Πατρὶς καλῶς πράσσουσα, τὸν εὐτυχοῦντ' ἀεὶ
μείζω τίθησι, δυστυχοῦντα δ' ἀσθενῆ.

Τοῦ αὐτοῦ.

ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

Δημοσθένους.

Ξενιτείη βίου αὐτάρκειαν διδάσκει. μᾶζα γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.

Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή. ψυχῆς γὰρ ἀγαθῆς, πατρὶς ὁ σύμπας κόσμος.

Universidad de Deusto Biblioteca



Ἀρίστιππος ἔφη πανταχόθεν ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδός.

## ΠΕΡΙ ΟΡΓΗΣ.

Θεόγνιδος.

κύρνε. nomen proprium. ut pla. 224.

Οὐδὲν κύρν' ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

Εὐριπίδου.

πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίας πολὺ χειρότερον.

Φιλήμονος.

μαινόμεθα πάντες, ὅταν ὀργιζώμεθα.
τὸ γὰρ κατασχεῖν ἐστὶ τῆς ὀργῆς πόνος.

Τοῦ αὐτοῦ.

ἅπανθ' ὅσ' ὀργιζόμενος ἄνθρωπος ποιεῖ,
ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα.

Εὐριπίδου.

ὀργῇ γὰρ ὅς τις εὐθέως χαρίζεται,
κακῶς τελευτᾷ, πλεῖστα γὰρ σφάλει βροτούς.

Τοῦ αὐτοῦ.

πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσε βροτῶν
ἥ τε ἀσυνεσία. δύω κακὼ τοῖς χρωμένοις.

Τοῦ αὐτοῦ.

ὀργὴ δὲ φαύλη πόλλ' ἔνεστ' ἀσχήμονα,
ἔξω γοῦν ὀργῆς πᾶς ἀνὴρ σοφώτατος.
πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.

Αἰσχύλου.

ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι.

Εὐριπίδου.

ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ,

οὕτω



οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν,
ἀθάνατον ὅς τις σωφρονεῖν ἐπίσταται.

Νεόφρονος.

εἶεν, τί δράσεις θυμέ; βούλευσαι καλῶς,
πρὶν ἢ ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα,
ἔχθιστα θέσθαι, ποῖ ποτ' ἐξῇξαι τάλας.
κάτισχε λῆμμα, καὶ σθένος θεοστυγές.
καὶ πρὸς τί ταῦτ' ὀδύρομαι ψυχὴν ἐμὴν
ὁρῶσ' ἔρημον καὶ παρημελημένην,
πρὸς ὧν ἐχρῆν ἥκιστα. μαλθακοὶ δὲ δὴ
τοιαῦτα γιγνόμεθα πάσχοντες κακά.
οὐ μὴ προδώσεις θυμὲ σαυτοῦ ἐν κακοῖς.
οἴμοι δέδοκται. παῖδες ἐκτὸς ὀμμάτων
ἀπέχετ'. ἤδη γάρ με φοινία μέγαν
δέδυκε λύσσα θυμόν. ὦ χέρες χέρες.
πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα; φεῦ,
τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ
διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ.

Εὐριπίδου.

οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.

Τοῦ αὐτοῦ.

δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

Ὁμήρου.

ἀλλ' ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν. στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

Τοῦ αὐτοῦ.

οὕτω γὰρ ἄν τοι γαιήοχε κυανοχαῖτα

τόνδε

Universidad de Deusto
Biblioteca



τὸν δὲ φέρω Διῒ μῦθον, ἀπηνέα τε κρατερόν τε, ἤ τι μεταστρέψεις. στρεπταὶ δέ τε φρένες ἐσθλῶν.

Σοφοκλέους.

ὦ μωρὲ, θυμὸς ἐν κακοῖς οὐ ξύμφορος.

Ηροδότου.

Ως ἐν τοῖς ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός. χρηστὰ μὲν ἀκούσας, τέρψιος ἐμπιπλῆσι τὸ σῶμα. ὑπεναντία δὲ τουτέοισιν ἀκούσας, ἀνοιδαίνει.

Απολλωνίου.

τῆς ὀξυθυμίας τὸ αἴθος, μανία.

Σωτίωνος.

Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς, ἡρακλείτῳ μὲν δάκρυα, δημοκρίτῳ δὲ γέλως ἐπήει.

Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ, ἐπιστάντος ξενοκράτους· λαβὼν, ἔφη, τοῦτον μαστίγωσον, ἐγὼ γὰρ ὀργίζομαι.

Πλουτάρχου.

Οἱ νεώνητοι δοῦλοι, οὐκ εἰ δεισιδαίμων, ἢ φθονερὸς πυνθάνονται ὁ δεσπότης, ἀλλ᾽ εἰ ὀργίλος.

Ναυκράτης ὁ σοφὸς τοὺς ὀξυθύμους παραπλήσιον ἔφη τοῖς λύχνοις πάσχειν· καὶ γὰρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

Αριστοτέλους.

Ο θυμός ἐστι πάθος θηριῶδες μὲν τῇ διαθέσει, συνεχὲς δὲ τῇ λήψει. σκληρὸν καὶ βίαιον τῇ δυνάμει φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν καὶ ἀτιμίας, χρημάτων ἀπώλεια, ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν.

Πλάτων ὀργισθεὶς ποτὲ τινὶ τῶν δούλων, χάριν ἔχειν





ἔχειν τοῖς θεοῖς ἐκέλευσεν αὐτὸν ὅτι ὀργίζεται. κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο.

Ηροδότου.

Τὰ ὀνείδεα κατιόντα ἀνθρώπῳ, φιλέει ἐπανάγειν τὸν θυμόν.

Αριστοτέλους.

Ἢ οὐχ ὁρᾷς ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων, ὁ λογισμὸς ἀποδημεῖ, φεύγων τὸν θυμὸν ὡς πικρὸν τύραννον.

Κάτωνος.

Τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.

Αρίστωνος.

Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα, ὥστε ἡ μήτηρ οὐκ ἀστεία.

## ΠΕΡΙ ΟΡΚΟΥ ΚΑΙ ἐπορκίας.

Αμφίδος.

Οστις γὰρ ὀμνύοντι μηδὲν πείθεται,
αὐτὸς ἐπορκεῖν ῥαδίως ἐπίσταται.

Αντιφάνους.

δέσποιν᾽ ὅταν τις ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ συνοίδε πρότερον ἐπορκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ,
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπορκηκέναι

Χοιρίλου περσηΐδος.

ὅρκον δ᾽ οὔτ᾽ ἄδικον χρεὼν ἔμμεναι οὔτε δίκαιον.

Αλέξιδος.

ὅρκος βέβαιος ἐστὶν, ἂν νεύσω μόνον.

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ,
τοῖς πράγμασι δὲ αὐτοῖς πιστεύειν ἀεί.

Λυκούργου.

Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν, ἄνευ τοῦ μὴ ἐπιορκεῖν.

Ἰσοκράτους.

Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων, μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

Καλλιμάχου.

ὤμοσεν, ἀλλὰ λέγουσι βεατοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.

Τοῦ αὐτοῦ.

ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

Διφίλου.

ὅρκος ἑταίρας ταὐτὸ καὶ δημηγόρου,
ἑκάτερος αὐτῶν ὀμνύει πρὸς ὃν λαλεῖ.

Εὐριπίδου.

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Μενάνδρου.

συγκέχυκε δὲ τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.

Εὔφρονος.

καινοὺς πόριζε πρός με διὰ τῶν θεῶν θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ ἐπιορκεῖς πολλάκις.

Εὐριπίδου.

συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖ,

ἐάν τις



ἐάν τις ὅρκοις θάνατον ἐκφυγεῖν θέλῃ,
ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά.

## ΠΕΡΙ ΠΕΝΘΟΥΣ.

Βακχυλίδου.

Αἶ αἶ τέκος ἀμέτρον μεῖζον ἢ παθεῖν.
ἐφαίη κακὸν ἀφθόνητοισιν ἶσον.

Σόλωνος.

μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλίποιμι θανὼν, ἄλγεα, καὶ στοναχάς.

Εὐριπίδου.

ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσι
θρήνων τ' ὀδυρμοί, μοῦσα θ' ἣ λύπας ἔχει.

Ὁμήρου.

τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι
κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.

Τοῦ αὐτοῦ.

πάτροκλον κλαίωμεν. τὸ γὰρ γέρας ἐστὶ θανόντων.

Εὐριπίδου.

ἔστι καὶ παρὰ δάκρυσι κείμενον ἡδὺ βροτοῖς
ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ.

Τοῦ αὐτοῦ.

ἀλλ' ἔστι γὰρ δὴ καὶ ἐν κακοῖσιν ἡδονὴ
θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἀπορροαί.
ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν,
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.

Τοῦ αὐτοῦ.

καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει,
ἣν καὶ δίκῃ θνήσκει τις, οὐχ ἧσσον ποθεῖ
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.

Σοφο-

Universidad de Deusto Biblioteca



Σοφοκλέους.

ὡς ἄρ᾽ ὦ τέκνον κενὴν
ἐτερπόμην σε τέρψιν εὐλογουμένου
ὡς ζῶντος, ἣδ᾽ ἄρ᾽ ἐν σκότῳ λαθοῦσά με
ἔσαιν᾽ ἐκείνους ἡδοναῖς ἐψευσμένον.

Φιλήμονος.

τί δὴ ποιεῖς πλέον; οὐδέν. ἡ λύπη δ᾽ ἔχει
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν τὸ δάκρυον.

Δημοσθένους.

Ἀλλ᾽ ἔχει τινὰ τοῖς ἀδικουμένοις ῥαστώνην, τὸ λέγειν ἃ πεπόνθασιν, ὥσπερ τοῖς ἀλγοῦσι τὸ στένειν.

Ὀβρίμου.

Ἔστι δὲ ἀνθρώποις καὶ θρήνων χάρις, καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις.

## ΠΑΡΗΓΟΡΙΚΑ.

Ἀρχιλόχου.

Κήδεα μὲν στονόεντα Περίκλεες, οὔτέ τις ἀστῶν
μεμφόμενος θαλίης τέρψεται, οὐδὲ πόλις.
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσ᾽ οἰδαλέους δ᾽ ἀμφ᾽ ὀδύνῃ ἴσχομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσι
ὦ φίλ᾽ ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον, ἄλλοτε δ᾽ ἄλλος ἔχει τόδε. νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ᾽ αἱματόεν δ᾽ ἕλκος ἀναστένομεν.
ἐξαῦτις δ᾽ ἑτέρους ἐπαμείψεται, ἀλλὰ τάχιστα
τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι.

Τιμοκλέους.

ὦ ταν ἄκουσον, ἤν τί σοι δοκῶ λέγειν,
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,





καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
ταύτας. ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ᾽ ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γοῦν τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὁ μὲν γὰρ πένης,
πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι, μανικὸν Ἀλκμαίωνα ἐσκέψατο.
ὀφθαλμιᾷ τις, ἴσιφον ἴδε τυφλόν.
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικεν.
χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθε τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζονα ἢ πέπονθέ τις
ἀτυχήματ᾽, ἄλλοις γεγονότ᾽ ἐννοούμενος,
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

Ὁμήρου.

ἴσχεο μηδ᾽ ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱέος αἰνῶς,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.

Τοῦ αὐτοῦ.

γαστέρι δ᾽ οὔπως ἐστὶ νέκυν πενθῆσαι,
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν.
ἀλλ᾽ ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε.
τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισι.
καὶ γάρ τ᾽ ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο.

Universidad de Deusto Biblioteca



ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.

Σιμωνίδου.

τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρας μιᾶς.

Μενάνδρου.

ἀνθρωπίνως δεῖ τὰς τύχας φέρειν, ξένε,
τὰ κοινὰ κοινῷ χρὴ φέρειν συμπτώματι.

Τοῦ αὐτοῦ.

πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
χρόνος ἐστίν, οὗτος καὶ σὲ νῦν ἰάσεται.

Ἀντιφάνους.

πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους,
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδόν,
ἣν πᾶσιν ἐλθεῖν ἐστ' ἀναγκαίως ἔχον,
προεληλύθασιν. εἶτα χ' ἡμεῖς ὕστερον,
εἰς ταυτὸ καταγώγιον αὐτοῖς ἥξομεν,
κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.

Εὐριπίδου.

παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ.
πᾶσι γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκραται, κατθανεῖν τ' ὀφείλεται.

Τοῦ αὐτοῦ.

τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει,
κοινὸν δ' ἔχοντες αὐτὸ κοινὰ πάσχομεν
πάντες. τὸ γοῦν χρεὼν μεῖζον, ἢ τὸ μὴ χρεών.

Ἰφίκλου.

λύπης δὲ πάσης γίνετ' ἰατρὸς χρόνος.

Φιλάχου.

ἀλλ' ὅτ' ἐπεὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα παύσειν
ἔλλαχε,



ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει.

Τοῦ αὐτοῦ.

καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο
κήδεα δειλέων εἶλεν ἀπὸ πραπίδων. l: πραπὶς. διον. pra// cordia. vt// pla. 316.

Τοῦ αὐτοῦ.

ἐκ θυμοῦ κλαῦσαι μέγα μέτρια, καί τι προσηνὲς
εἰπεῖν μεμνῆσθαι τ' οὐκέτ' ἐόντος ὅμως.

Φιλέα.

οὐ κλαίω ξείνων σε φιλαίτατε. πολλὰ γὰρ ἔγνως
καλά, κακῶν δ' αὖ σοι μοῖραν ἔνειμε θεός.

Ὁμήρου.

celer. αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
ζώειν ἀχνυμένους, αὐτοὶ δ' ἀκηδέες εἰσίν.

Σοφοκλέους.

ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακά,
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧττον ἂν κτῆμα τοῦ κλαίειν ἦν.
νῦν δ' ὦ γεραιὲ ταῦτ' ἀνηνύτως ἔχει,
τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν.
καί μοι γὰρ ἂν πατήρ τε δακρύων χάριν
ἀνῆκτ' ἂν εἰς φῶς.

Θεόγνιδος.

τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθώς,
δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη.
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐφ' ἔργμασιν ἄλγος ἀέξων
ὄχθει, μηδ' αἴσχεα, μηδὲ φίλους ἀνία.
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα,
οὐ ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.

Universidad de Deusto
Biblioteca



Εὐριπίδου.

γίνωσκε τἀνθρώπεια, μηδ᾽ ὑπὲρ μέτρον
ἄλγει. κακῶς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.

Τοῦ αὐτοῦ.

πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει.

Πυθαγόρου.

φείδεο ζωῆς, μή μιν καταθυμοβορήσῃς.

Πολυαίνου.

Ἐπὶ τοῖς ἀποθνήσκουσι μὴ λυποῦ, ἀναγκαῖον γὰρ ἀλλ᾽ ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσι.

Ἄμασις πρός τινα τὸν υἱὸν ἀποβαλόντα, εἶπεν· εἰ ὅτε οὐδέ πω ἦν, οὐκ ἐλύπου· μηδὲ νῦν λυπηθῇς, ὅτε οὐκ ἔστιν.

## ΕΠΑΙΝΟΣ ΠΛΟΥΤΟΥ.

Εὐριπίδου.

Ὦ χρυσὲ, δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὐδὲ μήτηρ ἡδονὰς τοίας ἔχει,
οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ.
εἰ δ᾽ ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ᾽ ἔρωτας μυρίους αὐτὴν τρέφειν.

Τοῦ αὐτοῦ.

ἐν τοῖς τοιούτοις ἡνίκ᾽ ἂν γνώμης πέσω,
σκοπῶ τὰ χρήμαθ᾽ ὡς ἔχει μέγα σθένος,
φίλοις τε δοῦναι. σῶμά τ᾽ εἰς νόσον πεσὸν
δαπάναισι σῶσαι. τοῦ δ᾽ ἐφημέρου βορᾶς
εἰς μικρὸν ἥκει. πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
ὁ πλούσιός τε καὶ πένης ἴσον φέρει.

Τοῦ αὐτοῦ.

ἐπίσταμαι δὲ, καὶ πεπείραμαι λίαν,

ὡς τῶν



ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

Τοῦ αὐτοῦ.

οὐ γὰρ παρὰ κρητῆρα καὶ θοίνην μόνον
τὰ χρήματ᾽ ἀνθρώποισιν ἡδονὰς ἔχει,
ἀλλ᾽ ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.

Μενάνδρου.

τοῦτο μόνον ἐπισκοτεῖ καὶ δυσχεῖψαι, καὶ τρόπου πονηρίαν,
καὶ πᾶσιν οἷς ἔχηκεν ἄνθρωπος κακοῖς,
τὸ πολλὰ κεκτῆσθαι, τὰ δ᾽ ἄλλ᾽ ἐλέγχεται.

Θεόγνιδος.

ἀλλὰ χρὴ ταύτην γνώμην πάντας καταθέσθαι
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Τοῦ αὐτοῦ.

οὔ σε μάτην ὦ πλοῦτε θεοὶ τιμῶσι μάλιστα.
σὺ γὰρ ῥηιδίως τὴν κακότητα φέρεις.

Τοῦ αὐτοῦ.

πᾶσι δ᾽ ἀνθρώποις ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν τῶν δ᾽ ἄλλων, οὐδὲν ἄρ᾽ ἦν ὄφελος.
οὐδ᾽ εἰ σωφροσύνην μὲν ἔχεις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ᾽ εἰδείης Σισύφου Αἰολίδεω.
καὶ γὰρ Ζεὺς πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔδωκεν,
ἡ πενίη δὲ σοφῶν σύμφορον ἀνδρὶ φέρειν.

Εὐριπίδου.

πάλαι μὲν οὖν ὕμνηθεν, ἀλλ᾽ ὅμως ἐρῶ.
τὰ χρήματ᾽ ἀνθρώποισι τιμιώτατα,
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.

Χαιρήμονος.

πλοῦτος δὲ πρὸς μὲν τὰς ἄλλας τιμὰς ἰὼν,
οὐκ ἔχει ὄγκον, ὥστε καὶ δόξης τυχεῖν,



ἀλλ᾽

Universidad de Deusto
Biblioteca



ἀλλ' ἔστι σεμνός. ἐν δὲ δόσει βροτῶν
ἡδὺς συνοικεῖν καί τιν' εἰληχὼς χάριν.

Φιλήμονος.

τὸ τῆς Ἀμαλθείας δοκεῖς εἶναι κέρας,
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός,
ἀργύριον ἐστὶ, τοῦτ' ἐὰν ἔχῃς, λέγε.
πρὸς τοῦτ' εἰ βούλει πάντα σοι γενήσεται,
φίλοι, βοηθοὶ, μάρτυρες, συνοικίαι.

Ἀντιφάνους.

ἄρ' ἐστὶ λῆρος πάντα πρὸς τὸ χρυσίον.
μόνον γὰρ ἀεὶ διαμένειν εἴωθ' ἀεὶ,
τὸ χρῶμα δ' αὐτὸ, τῶν φίλων δὲ τοὺς τρόπους
οὐδέποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι
πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει ποιεῖν;

Τιμοκλέους.

τἀργύριον ἐστὶν αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅστις δὲ μὴ ἔχει τοῦτο, μηδ' ἐκτήσατο,
οὗτος μεταξὺ ζώντων τεθνηκὼς περιπατεῖ.

Διφίλου.

ἰσχυρότερον κρίνω τὸ χρυσίον πολὺ,
τὰ πάντα τούτῳ τέμνεται καὶ πράττεται.

Εὐριπίδου.

χρυσὸν μάλιστα βούλομ' ἐν δόμοις ἔχειν,
καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνὴρ,
ἐλεύθερος δὲ χρεῖος ὢν, οὐδὲν σθένει,
χρυσοῦ νόμιζ' αὐτὸν οὕνεκ' εὐτυχεῖν.

Τοῦ αὐτοῦ.

πλοῦ δ'



πλοῦ δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε,
ἐν χρήμασι τόδ' ἐστὶ, μὴ γαυροῦ πάτερ.
κύκλῳ γὰρ ἕρπει, τῷ μὲν ἔσθ' ὁ δ' οὐκ ἔχει.
κοινοῖσι δ' αὐτοῖς χρώμεθα. ᾧ δ' ἂν ἐν δόμοις
χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐτυχής.

Τοῦ αὐτοῦ.

ἔχειν τε πειρῶ. τοῦτο μὲν τότ' εὐγενὲς
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν·
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία μένει.

Τοῦ αὐτοῦ.

ἄρ' οἶσθ' ὅτ' οὐκ ἔχοιμεν εὐγενεῖς βροτῶν
πένητες ὄντες οὐδὲν ἐμφαίνουσ' ἔτι.
οἱ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν,
καὶ συμπλέκονται σπέρμα, καὶ γάμους τέκνων.
δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ
πρόθυμός ἐστιν, ἢ πένητι κἀγαθῷ.

Τοῦ αὐτοῦ.

Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι
μορφὴν ἔχουσι, συντρέχει δ' εἰς χρήματα.
τούτου δὲ πάντες οἵ τε μουσικῆς φίλοι,
ὅσοι τε χωρὶς ζῶσι χρημάτων ὕπερ
μοχθοῦσιν· ὃς δ' ἂν πλεῖστ' ἔχῃ, σοφώτατος.

Θεόγνιδος.

πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί.
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις.
ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται κορέσαι.

Universidad de Deusto Biblioteca

Σοφοκλέους.

τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
αὖθις δὲ τιμάς. εἶτα τῆς ὑπερτάτης
τυραννίδος θάκοισιν ἀγχίστην ἕδραν.
ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.
ξένος γὰρ ἕρπειν πλοῦτος εἴς τε τὰ βατά,
καὶ πρὸς τὰ ἄβατα, χὤπόθεν πένης ἀνήρ,
μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν;
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ κἀπικρύψασθαι κακά.

Μενάνδρου.

ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους, ἥλιον, γῆν, ὕδωρ, πῦρ, ἀστέρας.
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεούς,
τὸ ἀργύριον ἡμῶν, καὶ τὸ χρυσίον.
ἱδρυσάμενος τούτους δ' εἰς τὴν οἰκίαν,
εὔξαιτ' εἰ βούλει, πάντα σοι γενήσεται,
ἀγρός, οἰκία, θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταί, μάρτυρες, μόνον δίδου.
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

Σιμωνίδης ἐρωτηθείς, πότερον αἱρετώτερον, πλοῦτος ἢ σοφία; οὐκ οἶδα, ἔφη. ὁρῶ γὰρ τοὺς σοφοὺς ἐπὶ τὰς θύρας τῶν πλουσίων φοιτῶντας.

Δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι τῶν δεόντων γενέσθαι.

Αὐτὸς μὲν οὖν πλοῦτος ἐσεμνύνετο χρείας ἀν-

θρώπων



ἀνθρώπων διορθοῦν, ἢ πλεῖν ἐπιθυμίας, ἢ βλάβαις ἀντέχειν, ἐπιμελεῖσθαι σώματος, ψυχῇ χαρίζεσθαι· πρέπειν μὲν εἰρήνῃ, πολέμοις δὲ παρέχειν. θεραπεύειν δ' ἐκ νόσων, παρέχειν δὲ ταῖς ὥραις βοηθήματα, ἀλέας μὲν ἐν τοῖς πάγοις, ἐκ ῥοπαῖς δ' ἀπὸ θέρους. αὐξάνειν δ' οἴκους, καὶ διαδοχαῖς μεγάλων φυλάττειν γενῶν, γάμους ποιεῖν μείζονας, παιδοποιίᾳ βοηθεῖν. κόσμῳ δ' εἶπεν ἱερά, καλλίονες δ' ἐξ ἐμοῦ, καὶ πόλεις. ἐμὰ δὲ ὄντα τὰ τείχη, τὰ λιμένες, καὶ στόλοι. ποταμοὺς δ' ἀβάτους γεφύραις σκέπω, καὶ τῇ κεχωρισμένῃ ἥρμοσα. ἐμοῦ δ' ἐμπορεῖαι δέονται. καὶ γεωργία δὲ αὐτὴ δαπάνας ἀπαιτεῖ ἐκ τῶν ἐμῶν ταμιείων. γῆ γὰρ οὐδὲ αὐτὴ δίδωσιν αὐτόματον, ἂν μὴ προλάβῃ. λαβεῖν δὲ ἐκ μόνων ἔχει τῶν ἐμῶν. δίδωμι δὲ ἀφορμὰς καὶ τοῖς ἄλλοις ἅπασι. κάλλους μὲν ἐκ κόσμου, πλεῖστα συλλαμβάνω. διακονοῦμαι. παιδείᾳ δ' ἁπάσῃ διδασκάλους ἐγὼ παρέχομαι. πόθεν δοῦλαι γυναιξὶν εἰς ταλασίας; πόθεν δ' ὅπλα τοῖς ἀνδράσιν; ἐλέφας δὲ καὶ χρυσὸς ὁ τοῖς ἀγάλμασιν ἁρμόσας ἐμός ἐστιν. δι' ἐμοῦ μεγάλαι πόλεις, βασιλεῖαι δ' ἐξ ἐμοῦ δυνατώτεραι. ποιῶ δὲ ἑορτὰς ἐγώ, τράπεζα δέ μοι φιλόξενος. χειρότεραι δ' εὐεργεσίαι. δι' ἐμοῦ μεγάλαι ἀμοιβαί. δύναται δ' ὁ ἔχων ἐμὲ μὴ μόνος εὐτυχεῖν, ἀλλ' εὐτυχίας χαρίζεσθαι. τέχνας δὲ πάσας ποιῶ κρείττονας ἐκ τῆς ἐλπίδος. μισθὸς γὰρ αὐτὰς ὁ μέγας τρέφει. γίνεται δ' ἐξ ἐμοῦ. καὶ σὺ δ' αὐτὸς ὦ Ζεῦ, πλούτους ἀνθρώποις ἀναγκαίους ἀπέφηνας, ὃς σῶμα δέδωκας ἐσθῆτος δεόμενον, οὐ θριξὶν ὡς τὰ ἄλλα καὶ δοραῖς σκεπόμενον. τροφὴν δὲ οὐ πόαν, οὐδὲ ταὐτόματα, ἀλλ' ἀεί τι-

 να δεῖ

Universidad de Deusto Biblioteca



να δεῖ πείθεσθαι τὸ ζῆν. οἴκους δὲ ἀνάγκην ἔδωκας. πόλεις δ' ἥρμοσας, νόσοι δ' ἐν ἀνθρώποις εἰσίν. ἐφ' ἅπαντα δεῖ χρημάτων. διὰ τί με μὴ καλεῖς εὐδαίμονα, δι' οὗ τὰς ἐνθάδε πάντα χρείας ἔχεις; ταῦθ' ὁ πλοῦτος εἰπών, ἐδόκει νενικηκέναι, καὶ περιέβλεπεν ὡς μακαριζόμενος. ἐβοήθη μὲν αὐτῷ κρατοῦσα ἡ τέχνη, κρίνεσθαι μετ' αὐτοῦ δοκοῦσα. μέγιστον γὰρ αὐτῆς ἀπόλλοιτο εἰ πλοῦτος οὐκ ἀγαθόν ἐστιν. ἦγε δὲ καὶ θεὰς ἄλλας μετ' αὐτοῦ συνηγόρους τε καὶ μάρτυρας, ἡδονάς, ἐλπίδας, εὐχάς, ἐπιθυμίας. ἔρως αὐτῷ συνέπραττεν ὡς πολλαχοῦ. ὑγεία καὶ αὐτὴ χάριν εἶχεν, ὡς δι' αὐτοῦ νόσοις μαχομένη. δύο δ' ἦλθον ἐναντίαι μὲν ἀλλήλαις οἰκονομία, καὶ τρυφή. πλούτου δὲ ἀμφότεραι. συνάμφω δ' ἐδόκουν ἀπόλλυσθαι. τοσοῦτος δὲ ὁ πλοῦτος ἦν.

## ΟΣΑ Ο ΠΛΟΥΤΟΣ ΠΟΙΕΙ.

Εὐριπίδου.

Ἀλλ' οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα,
τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.

Τοῦ αὐτοῦ.

πλούτου δ' ἀπορρυέντος, ἀσθενεῖς γάμοι.
τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσι βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.

Τοῦ αὐτοῦ.

ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι,
ἔστι δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον
εὐψυχίας δόκησις. οἰόμεσθα γὰρ
τοὺς εὐτυχοῦντας πάντ' ἐπίστασθαι σοφῶς.

Μενάνδρου.



Μενάνδρου.

πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν,
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Θεόγνιδος.

πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες. οἱ δὲ τὰ καλὰ
ζητοῦσι, χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται,
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Πλουτάρχου.

Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν. ἐγὼ δὲ φαίην· μὴ παιδὶ πλοῦτον, μηδὲ ἀνδρὶ ἀπαιδευσίαν. ne puero gladium

Δημοσθένους.

Ὥσπερ ἐν μὲν τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι τὸ μὴ προσαρμόζειν, καὶ τὸ συνεχές.

Καρκίνου.

ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς·
ἔχων γὰρ ἄμφω ταῦτα, μακάριος θ' ἅμα
κεκλημένος, ζῆν κἀγαθὸς δυνήσεται.

Βρούτου.

ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθα μόνος. ἐγὼ δέ σε
ὡς ἔργον ἐτίμων, σὺ δ' ἐδούλευες τύχῃ.

Τέλητος ἐκ τοῦ περὶ συγκρίσεως
πλούτου καὶ πενίας.

Δοκεῖ μοι ἡ τῶν χρημάτων κτῆσις, σπανίως καὶ ἐνδείας ἀπαλλύειν. καὶ πῶς οὐχ ὁρᾷς ἐνίους κεκτημένους μὲν πολλὰ ὡς δοκοῦσιν, οὐ χρωμένους δὲ τούτοις διὰ ἀνελευθερίαν, καὶ ῥυπαρίαν; ἀλλ' ὥσπερ ὁ πένης

ὁδ'

Universidad de Deusto
Biblioteca



οὐδ᾽ ἐπλήξεσθαι τῶν θρόνων, πολλῶν κατὰ οἶκον ἐόντων, ἀλλὰ χαμαὶ ἐκάθητο κυλινδούμενος κατὰ κόπρον. οὕτως ἔνιοι πολλῶν ὑπαρχόντων αὐτοῖς, δι᾽ ἀνελευθερίαν οὐδενὸς γεύονται, οὐδὲ ἅπτονται, ἀλλὰ πλείω οἱ μῦς κατεσθίουσι, καὶ οἱ μύρμηκες, ἢ αὐτοί. ὥσπερ ὁ Λαέρτης, ἀγροῦ ἐπ᾽ ἐσχατιῆς σὺν ἀμφιπόλῳ, ἣ οἱ βρῶσίν τε πόσιν τε παρτίθει. εἰς ἀγρὸν ἀπελθὼν μόνος μετὰ γραϊδίου, κακουχεῖ αὑτὸν καὶ ξηραίνει. οἱ δὲ μνηστῆρες τὰ ἐκείνου. καὶ ὥσπερ ὁ Τάνταλος ἐν λίμνῃ ἕστηκε, κατὰ κρατὸς δὲ καρποί. ἀλλ᾽ ὁπότ᾽ ἰθύσει ὁ γέρων πιεῖν, ἢ τῶν καρπῶν ἅψασθαι, ἡ μὲν λίμνη ξηρὰ ἐγίνετο, τοὺς δ᾽ ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα. οὕτως ἐνίων ἡ ἀνελευθερία, καὶ δυσελπιστία, καὶ τὸν οἶνον, καὶ τὸν σῖτον, καὶ τὴν ὀπώραν ῥίπτασκεν οὐ ποτὶ νέφεα, ἀλλ᾽ ἃ μὲν εἰς τὴν ἀγοράν, ἃ δὲ εἰς τὸ καπηλεῖον, καὶ ἐπιθυμοῦντες οὐδενὸς γεύονται. καὶ ἐὰν μὲν πρὸς ἑτέρων κληθῇ, ἐκπαθῶς ἀπολαύει. αὐτὸς δὲ ἔχων, οὐδενὶ ἂν παρέχοι, ἀλλ᾽ ἐπιθυμῶν στρατεύεται. καὶ εἰ μέν τις αὐτὸν ὀξίζοι, τὸν τοιοῦτον πολέμιον ἂν ἡγοῖτο. ἑαυτὸν δὲ ὀξίζων, οὐ δοκεῖ εἶναι πολέμιος. οὐκ ἀηδῶς δ᾽ ἔμοιγε δοκοῦσι καὶ οἱ ἀρχαῖοι πρὸς ταῦτα ἐρωτᾶν. ὃ μὴ ἀπολύει ἀπληστίας καὶ ἀνελευθερίας καὶ ἀλαζονείας ἀνθρώπους, οὐδὲ ἐνδείας, οὐδὲ σπάνεως ἀπολύει. οὐδὲν δὲ τῶν τοιούτων ἀπληστίας καὶ ἀνελευθερίας ἀπολύει. τὸν γὰρ τρόπον οὐ μετατίθησιν. ὥσπερ οὐδὲ τῶν σωφρονούντων ἡ πενία, ἐὰν ἐκ πλουσίων πένητες γίνωνται. θᾶττον τὸ ἂν ἔμοιγε δοκεῖ τις εἰπεῖν, ὡς τὴν χρόαν, τὸ μέγεθος, ἢ τὴν ὄψιν μετατίθησιν, ἢ τῶν χρημάτων κτῆσις, ἤπερ τὸν τρόπον. ἕως δ᾽ ἂν ᾖ οὗτος ἄπληστος, ἀνελεύθερος, ἀλαζών, δειλός,

ἐν ἐνδείᾳ



ἐν ἐνδείᾳ καὶ σπάνει ἔσται. καὶ πῶς σπανίζουσιν οὗτοι τούτων ἃ ἔχουσιν; πῶς δὲ οἱ τραπεζῖται, φησὶν ὁ Βίων, χρημάτων, ἔχοντες αὐτά; οὐ γὰρ αὐτῶν ὄντα ἔχουσιν. οὐδὲ γὰρ αὐτοὶ αὐτῶν, εἰ δὲ καὶ τοῦτό τις ἐνδώκῃ ἐπὶ τοῦ προόντος. ἀλλ᾽ ὅμοιόν ἐστι τὸ οὕτως ἔχειν, ὅταν ἀδυνατῶσιν αὐτοῖς χρῆσθαι. ἢ τί διαφέρει μὴ ἔχειν, ἢ οὕτως ἔχειν, ὡς αἱ Φορκίδες τὸν ὀφθαλμὸν ἀποκείμενον, αὐταῖς δὲ εἰς φάραγγας καὶ βάραθρα καὶ βόρβορον ἐμπίπτειν, μηδὲν προορωμένας, ἀλλ᾽ ἐώσας ἀποκεῖσθαι, ἕως ὅτε καὶ αὐτὸν τὸν ὀφθαλμὸν ὁ Περσεὺς ὑφείλετο; ἢ τί διαφέρει μὴ ἔχειν, τροφὴν ἢ τοιαύτην ἔχειν ἰχθῦς καὶ πολυστρία, ἧς οὐ μὴ γεύσηται, ἢ αἰγυπτίῳ κυνὶ ἢ ἄλλῳ κρανίον ἀνθρώπου. ὁμοίως γὰρ σπανιεῖ τροφῆς, καὶ ἔχων ταύτην, καὶ μὴ ἔχων. τί οὖν ὄφελος τὸ οὕτως ἔχειν; ἐπεὶ καὶ σὺ ἀργύρειον ἔχεις, ἀλλ᾽ οὐ μὴ χρήσῃ διὰ ῥυπαρίαν καὶ δειλίαν. διὸ καὶ οἱ ἀρχαῖοι ἔλεγον οὐκ ἀηδῶς. ἔφασκον γὰρ τῶν ἀνθρώπων οὓς μὲν χρήματα ἔχειν, οὓς δὲ κτήματα. οὓς μὲν γὰρ χρῆσθαι τοῖς ὑπάρχουσιν, οὓς δὲ μόνον κεκτῆσθαι, οὔτε ἑαυτοῖς, οὔτε ἄλλοις μεταδιδόντας προϊεμένους. καὶ ὃν τρόπον ὅταν βασιλεὺς ἢ δυνάστης τὰ ὑπάρχοντα παρασφραγίσηται, οὐκ ἔστιν ἅψασθαι· οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία, τὰ ὑπάρχοντα παρεσφράγισται, οὐκ ἐῶσα ἅψασθαι. ἀλλὰ σπανίζουσι, καὶ ἐν ἐνδείᾳ εἰσίν. ἐπιθυμοῦντες μὲν πολλῶν, χρῆσθαι δὲ οὐ δυνάμενοι. διὸ καὶ ὁ Κράτης πρὸς τὸν ἐπιζητοῦντα, τί οὖν μοι ἔσται φιλοσοφήσαντι; δυνήσῃ, φησί, τὸ φασκώλιον ῥᾳδίως λῦσαι, καὶ τῇ χειρὶ ἐξελὼν εὐλύτως δοῦναι, καὶ οὐχ ὥσπερ νῦν, στρέφων, καὶ μέλλων, καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας. ἀλλὰ

καὶ πλή-

bolsa de //
// quero.

Universidad de Deusto
Biblioteca



καὶ πλῆρες ὂν αὐτοῦ, οὕτως ὄψει· καὶ κενούμενον ἰδὼν, οὐ δυνήσῃ· καὶ χρῆσθαι προελόμενος, ῥᾳδίως δυνήσῃ· καὶ μὴ ἔχων, οὐκ ἐπιποθήσεις, ἀλλὰ βιώσῃ ἀρκούμενος τοῖς παροῦσι, τῶν ἀπόντων οὐκ ἐπιθυμῶν, τοῖς συμβεβηκόσιν οὐ δυσαρεστῶν. καὶ εἴ τις βούλεται, ἢ αὐτὸς ἐνδείας καὶ σπάνεως ἀπολυθῆναι, ἢ ἄλλον ἀπαλύσαι, μὴ χρήματα αὐτῷ ζητείτω. ὅμοιον γάρ φησιν ὁ Βίων, ὡς εἴ τις τὸν ὑδρωπικὸν βουλόμενος παῦσαι τοῦ δίψους, τὸν μὲν ὕδρωπα μὴ θεραπεύοι, κρήνας δὲ καὶ ποταμοὺς αὐτῷ παρασκευάζοι. ἐκεῖνός τε γὰρ ἂν πρότερον πίνων διαῤῥαγείη, ἢ παύσαιτο τοῦ δίψους. οὗτός τε οὐκ ἂν ποθ' ἱκανωθείη, ὅταν ᾖ ἄπληστος καὶ δοξοκόπος καὶ δεισιδαίμων. διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι, μὴ πρὸς τὸν Πτολεμαῖον πέμπε, ὅπως χρήματα κτήσηται. εἰ δὲ μὴ ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται. περανεῖ δὲ οὐδέν· ἀλλ' εἰς Ἀκαδημίαν πρὸς Κράτητα. ἐκεῖνος ἠδύνατο ἐξ ἀπλήστων καὶ πολυτελῶν, ἐλευθερίους, καὶ ἀφελεῖς κατασκευάζειν. καὶ Μητροκλῆς δὲ ἐκεῖνος ἔφη, ὡς ἔοικεν ὅτε μὲν παρὰ Θεοφράστῳ καὶ Ξενοκράτει σχολάζοι, πολλῶν αὐτῷ ἐξ οἴκου ἀποστελλομένων, φοβεῖσθαι μὴ τῷ λιμῷ ἀποθάνοι, καὶ ἀεὶ σπανίζειν καὶ ἐνδεὴς εἶναι. μεταβὰς δὲ ὕστερον πρὸς Κράτητα, καὶ ἄλλον προστρέφειν, μηδενὸς πεμπομένου. τότε μέν γε ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν. καὶ τοῦτο ἀκάττυτον, ἥλων οὐκ ἔχοντα. εἶτα χλανίδα, παίδων ἀκολουθίαν, οἰκίαν μεγάλην, εἰς τὸ συνδεῖπνον ὅπως ἄρτοι καθαροί· ὄψον μὴ τὸ τυχόν. οἶνος ἡδύς. ὑποδοχὰς τὰς ἐπιβαλλούσας, ἵνα πολυτελῶσιν, ἐλευθέριος γὰρ παρ' αὐτοῖς ἡ τοιαύτη ἀναστρο-

ναστρέ-



ναστροφὴ ἐκρίνετο. πρὸς Κράτητα δὲ μεταβάντι, οὐδὲ ἓν τούτων. ἀλλ' ἀφελέστερος τῷ τρόπῳ γενόμενος, ἠρκεῖτο τρίβωνι, καὶ μάζῃ, καὶ λαχανίοις, οὐκ ἐπιποθῶν τὴν προτέραν δίαιταν, οὐδὲ τῇ παρούσῃ δυσχεραίνων. πρὸς ῥῖγος ἡμεῖς μὲν ζητοῦμεν παχύτερον ἱμάτιον. ἐκεῖνος δὲ διπλώσας τὸν τρίβωνα περιῄει, τρόπον τινὰ δύο ἱμάτια ἔχων. εἰ ἀλείψασθαι χρείαν ἔχοι, εἰσελθὼν εἰς τὸ βαλανεῖον, τῷ γλοιῷ ἠλείψατο καὶ βαδίσας ἐνίοτε πρὸς τὴν κάμινον, περιχέας ἂν ἐλάδιον, καθίσας ἠρίστησε. καὶ ἐκάθευδε τὸ μὲν θέρος ἐν τοῖς ἱεροῖς, τὸν δὲ χειμῶνα ἐν τοῖς βαλανείοις, οὐ σπανίζων ὥσπερ πρὸ τοῦ, οὐδὲ ἐνδεὴς ὤν, ἀλλ' ἀρκούμενος τοῖς παροῦσι, διακόνου οὐκ ἐπιθυμῶν ἔχειν. θαυμαστὸν μὲν γάρ φησιν, εἰ μαίνης μὲν διογένους ἄνευ δυνήσεται ζῆν, διογένης δὲ ἄνευ μαίνητος οὐ δυνήσεται θαῤῥεῖν. ὅταν δὲ ποιήσας ἀλαζόνα, πολυτελῆ, δεισιδαίμονα, δοξοκόπον, ἄπληστον, χρήματα πολλὰ δίδως, οὐδὲν περαίνεις. τούτου δὲ μένοντος τοῦ αὐτοῦ ὁμοίως οὐκ ἀρκεῖται, οὐδ' ἱκανεῖται, ἀλλ' ἐπιθυμίας καὶ ἐπιβολὰς τοσαύτην καὶ τοιαύτην ἔχει, ἐξ ὧν ἐν ἐνδείᾳ καὶ σπάνει ἔσεσθαι. ἄπληστον γὰρ ἔχειν τοι κακοὶ νόον. καὶ παῖς μὲν ὤν, ἐπιθυμεῖ ἔφηβος γενέσθαι. ἔφηβος δὲ γενόμενος, ζητεῖ πάλιν τὸ χλαμύδιον ἀποθέσθαι. ὅταν δὲ ἀνδρωθῇ, πάλιν εἰς τὸ γῆρας σπεύδει. νῦν δέ φησιν, ἀβίωτος ὁ βίος, στρατεία, λειτουργία, πολιτικὰ πράγματα, σχολάσαι αὐτῷ οὐκ ἔστι. πρεσβύτης γέγονε, πάλιν ἐπιθυμεῖ τὰ ἐν νεότητι. ἡ νεότης μοι φίλον αἰεί, τὸ δὲ γῆρας βαρύτερον Αἴτνης. καὶ μακαρίζει τὸν τοῦ παιδὸς βίον. οἰκέτης ἐστὶν, ἐλεύθερος σπεύδει γενέσθαι. κἂν τοῦτο τύχω, φησὶ, πάντ' ἔχω. γέγονεν ἐλεύθερος, δούλους

quodam modo.
Sordido.

εὐθὺς ἐπιθυμεῖ κτήσασθαι. γέγονε τοῦτ' αὐτῷ, ἕτερον προσεπιδεῖ κτήσασθαι. μία γάρ, φησι, χελιδὼν ἔαρ οὐ ποιεῖ, εἶτα δύο, εἶτα καὶ γρὸν, εἶτα ἀθηναῖος γενέσθαι, εἶτα ἄρξαι, εἶτα βασιλεῦσαι, εἶτα ὥσπερ ἀλέξανδρος ἀθάνατος γενέσθαι. εἰ δὲ καὶ τούτου τύχοι, οἶμαι ἵνα Ζεὺς γένηται ἐπιθυμήσει. πῶς οὖν ὁ τοιοῦτος οὐκ ἐνδεής; ἢ ποία χρημάτων ὕπαρξις τοιούτων ἐπιθυμιῶν ἀπολύει. οἱ βασιλεῖς αὐτοὶ πολλῆς ἐπάρχοντες, καὶ προσόδους μεγάλας ἔχοντες, οὐδὲν ἧττον σπανίζουσιν, ὥστε καὶ τυμβωρυχεῖν, καὶ ἱεροσυλεῖν, καὶ παρὰ τὸ προσῆκον φυγαδεύειν. ἅμα γὰρ τῇ ἀρχῇ πολλὰ τὰ ἀναγκαῖα ἀναπεπλάκασι, καὶ οὔτε τῆς ἀρχῆς ἀποστῆναι προαιροῦνται, οὔτε τὰ καθ' ἑαυτοὺς λιτότερον ἐξάγουσιν. εἶτα ἀναγκάζονται πολλὰ ἂν βούλωνται. εἰ δὲ πάντων τις τῶν τοιούτων ὑπεράνω γένοιτο, ἐν πολλῇ ἂν εἴη ἀδείᾳ καὶ ἀσπανιστίᾳ. οὐκ ἀηδῶς γὰρ κράτης, οὐκ οἶδα φησὶν πήρα δύναμιν ἡλίκην ἔχει. θέρμων τε χοῖνιξ. καὶ τὸ μηδενὸς μέλειν τῷ ὄντι μέγα καὶ ἀξιόλογον. καὶ μετὰ πήρας καὶ θέρμων, καὶ λαχάνων, καὶ ὕδατος μηδενὸς φροντίζειν. ἀλλ' εἶναι ἀθώπευτον καὶ ἀκολάκευτον.

: χοῖνιξ. cibus// et dimensura di urnaz. la provi// sion de un dia.// la mochila del sol dado. de plana.// ·356·

ΨΟΓΟΣ ΠΛΟΥΤΟΥ.

Ἀντιφάνους.

Οὐ πώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον ἀπολαύοντα μηδὲν ὧν ἔχει.
ὁ δὲ πλοῦτος ἡμᾶς καθάπερ ἰατρὸς κακὸς
τυφλοὺς βλέποντας παραλαβὼν, πάντας ποιεῖ.

Τοῦ αὐτοῦ.

ψυχὴν ἔχειν δεῖ πλουσίαν, τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν, ὄψις, παραπέτασμα τοῦ βίου.





Εὐριπίδου.

καὶ νῦν ἐφέλκετ' ὦ κακοὶ τιμὰς βροτοὶ
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
σύμμικτ' ἅμα δίκαια, καὶ ἄδικα ὁμοῦ,
ἔπειτ' ἀμᾶσθαι τῶνδε δύστηνον θέρος.

Τοῦ αὐτοῦ.

μή μοι ποτ' εἴη χρημάτων νικωμένῳ
κακῷ γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς.

Τοῦ αὐτοῦ.

μή μοι γένοιτο πικρὸς εὐδαίμων βίος,
μηδ' ὄλβος ὅς τις τὴν ἐμὴν κνίζει φρένα.

Τοῦ αὐτοῦ.

σκαιὸν τὸ πλουτεῖν, κἄλλο μηδὲν εἰδέναι.

Τοῦ αὐτοῦ.

μὴ πλοῦτον εἴπῃς οὐχὶ θαυμάζω θεὸν,
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο.

Τοῦ αὐτοῦ.

τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
ὅν γ' ἐξαλείφει ῥᾶον ἢ γράφει θεός.
πλουτεῖς, ὁ πλοῦτος δ' ἀμαθία, δειλόν θ' ἅμα.

Φιλήτου.

ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
φθόνον τε κἀπήρειαν καὶ μῖσος πολὺ,
πράγματά τε πολλὰ καὶ ὀχλήσεις μυρίας,
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
εἶτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανὼν,
ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια, κἀμβρίμιον ζῆν βίον,

καὶ μήτ' ἔχειν με πλοῦτον, μήτε πράγματα.
πᾶς γὰρ πένης ὤν, μεγάλα κερδαίνει κακά.

Εὐριπίδου.

δεινόν γε τοῖς πλουτοῦσι, τοῦτο δ' ἔμφυτον
σκαιοῖσιν εἶναι, τί ποτε τοῦτ' αἴτιον.
ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ,
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης.

Τοῦ αὐτοῦ.

ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.

Τοῦ αὐτοῦ.

σκαιόν τι χρῆμ' ὁ πλοῦτος, ἥ τ' ἀπειρία.

Τοῦ αὐτοῦ.

πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.

Τοῦ αὐτοῦ.

εἰσορῶ, τυφλὸν θ' ὁ πλοῦτος, καὶ φιλόψυχον κακῶς.

Μενάνδρου.

τυφλὸν ὁ πλοῦτος, καὶ τυφλοὺς ἐμβλέποντας
εἰς αὐτὸν δεικνύει.

Τοῦ αὐτοῦ.

ὑπερήφανόν που γίνεθ' ἡ λίαν τρυφή,
ὅτε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον,
εἰς ἕτερον ἦθος, οὐκ ἐφ' ὧν τὸ πρόσθεν ἦν.

: ἐπώκειλαν· est impegerunt nabē id est encallaron la nabe· ut in act· apost· cap· 27· vide sup p'ana· 62·

Ναυμαχίου.

χρυσός τοι κόνις ἐστὶ καὶ ἄργυρος. οἱ δὲ καὶ αὐτοὶ
λᾶες ἐπὶ ῥηγμῖνι πολυφλοίσβοιο θαλάσσης.
πολλοὶ δ' ἐρρίφαται ποταμῶν παρὰ χείλεσιν αὔτως.
εἵματα δ' εἰναλίης ἐρυθαίνεται αἵματι κόχλου.

Σωκράτους.

Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρ-





μετροι πολυτέλειαι τὰς ψυχὰς ἐμποδίζουσιν.

Δημοκρίτου.

Διηνεκὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία. μὴ κτηθεῖσα μὲν γὰρ ψύχει. κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν· ἀποκτηθεῖσα δὲ, ταῖς λύπαις.

Ἀγάπα τὴν ὑπάρχουσαν τῶν ἀγαθῶν, μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

Πλάτωνος.

Ἀγαθὸν δὲ ὄντα διαφόρως, καὶ πλούσιον εἶναι διαφερόντως, ἀδύνατον. εὐδαίμονας μὲν ἅμα καὶ ἀγαθοὺς ἀνάγκη γίνεσθαι. πλουσίους δ' αὖ σφόδρα καὶ ἀγαθοὺς, ἀδυνάτους. οὕς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσιν, ὁ λόγος ἡμῖν ὀρθὸς ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί· εἰ δὲ μὴ ἀγαθοί, οὐδ' εὐδαίμονες.

Ἡροδότου.

Ἄμασις Πολυκράτει ὧδε λέγει· ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα. ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσιν, ἐπισταμένῳ τὸ θεῖον, ὡς ἔστι φθονερόν.

## ΠΕΝΙΑΣ ΕΠΑΙΝΟΣ.

Μενάνδρου.

Ἅπανθ' ὁ λιμὸς ἡδέα πλὴν αὐτοῦ ποιεῖ.
πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.

Διφίλου.

πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον.
τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

Πολυίδου.

πλουτεῖς, τὰ δ' ἄλλα μὴ δοκεῖς συνιέναι,
ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις,

Universidad de Deusto
Biblioteca



πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχεῖν.

Ἀλέξιδος.

τῶν γοῦν ἀγαθῶν τὸ πλοῦτον ὕστατον τίθει,
ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα,
τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.

Φιλήμονος.

νὴ δία τὸ μέγιστον ὤμην εὐπορίαν
εἶναι πρότερον τοὺς πένητας ζῆν μόνον
ὀδυνωμένους, τῶν πλουσίων δὲ τὸν βίον
ἱλαρόν τιν' εἶναι καὶ φέρειν εὐθυμίαν.
νῦν δὲ διαφέροντα τοῖς καθ' ἡμέραν
ἀτυχήμασι δὴ τὸν βίον ὁρῶ μόνον,
λύπας δ' ἔχοντας μείζονας τοὺς μείζονας.

Μενάνδρου.

ἀεὶ νομίζονθ' οἱ πένητες τῶν θεῶν,
ἐπεὶ τάγ' ἀρκοῦνθ' ἱκανὰ τοῖς σώφροσι.

Ἀλκαίου.

ἀργαλέον πενία κακὸν ἄσχετον, ἃ μέγαν
δάμνησι λαὸν ἀμηχανίᾳ σὺν ἀδελφᾷ.

Διογένης ὀνειδιζόμενος ὑπό τινος πενίαν μοχθηροῦ, ἔφη· διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμενον εἶδον, διὰ δὲ κακίαν πολλούς.

Πλουτάρχου.

Ἀρχύτας ἀναγνοὺς τὸ Ἐρατοσθένους Ἑρμῆν, στίχους ἐπήνεγκε τὸν στίχον,
χρειὼ πάντ' ἐδίδαξε, τί δ' οὐ χρειώκεν ἀνεύροι.

Τοῦ αὐτοῦ περὶ πλούτου.

Οὐδέποτε λιμὸς ἐγέννησε μοιχείαν, οὐδέποτε ἀχρεία χρημάτων ἀσωτίαν, βραχεῖα τίς ἐστιν εὐφροσύνη

τὸ πεν.



τὸ πενητεύειν. ὀλίγη τις εὐνομία τὸ ἀχρεῖσθαι.

Μενάνδρου.

τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει
πενία. τί γὰρ τοῦτ' ἐστὶν, ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας ἰατρὸς ῥαδίως;

Τοῦ αὐτοῦ.

ἀδικείτω μοι πλοῦτος, καὶ μὴ πένης·
ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα.

Αἰλιανοῦ ἐκ τῆς συμμίκτου ἱστορίας.

Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων, Ἀριστείδης ὁ Νικομάχου, καὶ Φωκίων ὁ Φώκου, καὶ Ἐπαμινώνδας ὁ Πολύμνιδος, καὶ Πελοπίδας ὁ Θηβαῖος, καὶ Λάμαχος ὁ Ἀθηναῖος, καὶ Σωκράτης ὁ Σωφρονίσκου, καὶ Ἐφιάλτης ὁ Σοφωνίδου.

Φαβωρίνου.

Πενίας διττὸν εἶδος. ἢ γὰρ διὰ τὴν γνώμην ἄνθρωποι πένονται, ἢ διὰ τὴν τύχην. ἀλλὰ τὴν μὲν τύχην ἔστι θεραπεύειν, καὶ δόσει, καὶ εὑρήσει, καὶ ἐργασίᾳ, καὶ αὐταρκείᾳ. τὴν δὲ γνώμην οὐκ ἔστιν. οὐ γὰρ ὁμοίων δέονται, οὗτός τε κἀκεῖνος. ἀλλ' ὁ μὲν περιέρχεται αἰτίζων ἀκόλους· ὁ δὲ οὐκ ἀκόλους, οὐδὲ ψωμόν.

ἀκωλος. un pedaço de pan. ψωμος. migaja de pan.

Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ κουροτρόφον, ἐθίζουσαν συνεῖναι λιτότητι, καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον.

Διογένης τὴν πενίαν ἔλεγεν, αὐτοδίδακτον εἶναι ἀρετήν.

Universidad de Deusto Biblioteca



## ΕΤΙ ΠΕΡΙ ΠΑΤΡΙΔΟΣ.

Ὁμήρου.

Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων.

Εὐριπίδου.

μῆτερ φρονῶν εὖ, κοὐ φρονῶν ἀφίκομαι
ἐχθροὺς ἐς ἄνδρας, ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας. ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.

Τοῦ αὐτοῦ.

ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς,
οὐδ' ὀνομάσαι δύναιμ' ἂν ὡς ἔστι φίλον.

Τοῦ αὐτοῦ.

τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;

Τοῦ αὐτοῦ.

ὡς ἄν γέ μοι κρίνοιτ' ἂν μὴ καλῶς φρονεῖν,
ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους,
ἄλλην ἐπαινεῖ, καὶ τρόποισιν ἥδεται.

Τοῦ αὐτοῦ.

σπάρτην ἔλαχες, κείνην κόσμει,
τὰς δὲ μυκήνας ἡμεῖς ἰδία.

Τοῦ αὐτοῦ.

σὺ δ' ὦ πατρῴα χθὼν ἐμὴ γεννητόρων
χαῖρε. ἀνδρὶ γάρ τοι κἂν ὑπερβάλλῃ
κακοῖς, οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον.

Μενάνδρου.

οἴκοι μένειν χρὴ, καὶ μένειν ἐλεύθερον,
ἢ μηκέτ' εἶναι τὸν καλῶς εὐδαίμονα.

Σοφοκλέους.

πολλά σε ζηλῶ βίου, κάλλιστα δ' εἰ γῆς





μὴ πεπείρασαι ξένης.

Εὐριπίδου.

μακάριος, ὅστις εὐτυχῶν οἴκοι μένει.

Τοῦ αὐτοῦ.

οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς λόγους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν.

Εὐριπίδου.

τί τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα;
μέγιστον. ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ.
τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσι τὸ δυσχερές;
ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.

Ὁμήρου.

τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης.

Τοῦ αὐτοῦ.

αὐτὰρ ὅγ' ἱμείρων
ἧς γαίης καὶ καπνὸν ἀποθρῴσκοντα νοῆσαι.

Πυθαγόρας ἐρωτηθεὶς, πῶς δεῖ ἀγνωμονούσῃ πατρίδι προσφέρεσθαι, εἶπεν ὡς μητρί.

Ἀριστείδης ἐρωτηθεὶς, τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει, τὸ τῆς πατρίδος ὄνειδος ἔφη, κακῶς ἀκούσης ἐν τῇ αὐτοῦ φυγῇ.

Σερίφιος ὀνειδιζόμενος ὑπὸ ἀθηναίου τῇ μικροπολιτείᾳ, ἐμοὶ, ἔφη, ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι.

Εὐριπίδου.

εἰκὸς δὲ πάντι καὶ λόγῳ καὶ μηχανῇ
πατρίδος ἐρῶντας, ἐκπονεῖν σωτηρίαν,

μὴ κάμνε, πατρίδα σὴν λαβεῖν πειρώμενος.

Τοῦ αὐτοῦ.

εἰ δ' ἦσθα μὴ κάκιστος οὔποτ' ἂν πόλιν
τὴν σὴν ἀτίζων, τήνδ' ἂν εὐλόγεις πάτραν.

ἀλίζω · vilipendo.

Σοφοκλέους.

πολλά σε ζηλῶ βίου.
κάλλιστα δ' εἰ γῆς μὴ πεπείρασαι ξένης.

Ἡ γυνὴ τῷ ἀεισείδη περὶ πολιτικὰ διατρίβοντι, εἶδε, ἔφη, τὰ μὲν ἴδια κοινὰ νομίσας, τὰ δὲ κοινὰ ἴδια.

## ΠΕΡΙ ΠΟΛΕΜΟΥ.

Τυρταίου.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστὲ,
θαρσεῖτ' οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' εἰς προμάχων ἀνὴρ ἀσπίδ' ἐχέτω.
ἐχθρὰν μὲν ψυχὴν θέμενος. θανάτου δὲ μελαίνας
κῆρας αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς Ἄρηος πολυδακρύου ἔργ' ἀΐδηλα
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου.
καὶ παρὰ φευγόντων διωκόντων τε ἔγευσθε
ὦ νέοι. ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι.
παυρότεροι θνήσκουσι. σάουσι δὲ λαὸν ὀπίσω,
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα.
ὅσ' ἂν αἰσχρὰ πάθῃ γίνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν,
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.

αἰσχρὸς

Universidad de Deusto Biblioteca



αἰσχρὸς δ' ἐστὶ νέκυς κατακείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλάμενος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν,
στηριχθεὶς ἐπὶ γῆς χεῖλος ὀδοῦσι δακών.
μηρούς τε κνήμας τε κάτω, καὶ στέρνα καὶ ὤμους,
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος.
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζων,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω.
καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον λόφῳ, καὶ κυνέην κυνέῃ.
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ' ὦ γυμνῆτες ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις.
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς
τοῖσι πανοπλίοισι πλησίον ἱστάμενοι.

Ἀράτου.

χαλκείη γενεὴ προτέρων ὀλοώτεροι ἄνδρες,
οἳ πρῶτον κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
εἰνοδίην. πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.

Πινδάρου.

γλυκὺ δὲ πόλεμος ἀπείροισιν, ἐμπείρων δέ τις
ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς. dulce bellum in expertis.

Ὁμήρου.

ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,

Universidad de Deusto
Biblioteca



ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

Εὐριπίδου.

Φιλεῖ τοι πόλεμος οὐ πάντ' εὐτυχεῖν,
ἐσθλῶν δὲ χαίρει πτώμασι νεανιῶν,
κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος
τόδ' ἐστί, τοῖς δὲ κατθανοῦσιν εὐκλεές.

Δημοσθένους.

Πόλεμος ἔνδοξος, εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

Ἀρχίδαμος ὁ Ἀγησιλάου ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθέν, ἀνεβόησεν, ὦ Ἡράκλεις ἀπόλωλεν ἀνδρὸς ἀρετά.

## ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ.

Μενάνδρου.

Ταμεῖον ἐστὶν ἀρετῆς ἡ σωφροσύνη.

Σοφοκλέους.

ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια. τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

Τοῦ αὐτοῦ.

χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε.

Τοῦ αὐτοῦ.

ὦ μάκαρ οἵας ἔλαχες τιμᾶς
ἱππόλυθ' ἥρως διὰ σωφροσύνην.
οὔποτε θνητοῖς ἀρετῆς ἄλλη δύναμις μείζων.
ἦλθε γὰρ ἢ πρόσθ' ἢ μετόπισθεν
τῆς εὐσεβείας χάρις ἐσθλή.
ἀνθρώποισι πᾶσι μέτεστι γινώσκειν
ἑαυτοὺς καὶ σωφρονεῖν.





Δημοσθένους.

οὐδὲν ἐστὶ τῆς ἀκρασίας ἐπωδυνώτερον.

Τοῦ αὐτοῦ.

δίκαιος ὅρος, ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν.

Σωκράτους.

Δεῖ ὥσπερ σειρῆνας τὰς ἡδονὰς παρελθεῖν τὸν σπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὥσπερ πατρίδα.

Ἐκ τῶν στείνου.

Εὐριπίδης εὐδοκίμησεν εἰπών, τί δ' αἰσχρὸν ἂν μὴ τοῖσι χρωμένοις δοκῇ. Διογένης ἐκ τοῦ ἐναντίου· αἰσχρὸν τὸ αἰσχρὸν κἂν δοκῇ, κἂν μὴ δοκῇ.

Ἀριστοτέλους.

Ἀνδρειότερος εἶναι μοι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν, ἢ τῶν πολεμίων κρατῶν. καὶ γὰρ χαλεπώτατόν ἐστι, τὸ ἑαυτὸν νικῆσαι.

Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων.

## ΠΕΡΙ ΣΤΡΑΤΕΙΑΣ.

Μενάνδρου.

Στρατεία δ' οὐ φέρει περιουσίαν οὐδὲ μίαν,
ἐφήμερον δὲ καὶ προπετῆ βίον.
οὐ πεῖραν ἐχόμενον ὄντος οὐ σωτηρίας.

Τοῦ αὐτοῦ.

εὐλοιδόρητον, ὡς ἔοικε, φαίνεται
τὸ τοῦ στρατιώτου σχῆμα, καὶ τὸ τοῦ ξένου.

Τοῦ αὐτοῦ.

κομψὸς στρατιώτης οὐδ' ἂν εἰ πλάττοι θεός,
οὐδεὶς γένοιτ' ἄν.

Φιλήμονος.

ταχύ γε στρατιώτης γέγονας ἀντ' ἐλευθέρου.

## ΠΕΡΙ ΣΤΡΑΤΙΩΝ, ΚΑΙ ΠΕΡΙ τῶν κατὰ πόλεμον χρειῶν ὑποθῆκαι.

Γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις τροφοὶ
βουλαὶ τάδ' ἐξέπραξαν, οὐ χειρῶν σθένος.

Σοφοκλέους.

γνῶμαι πλέον κρατοῦσιν, ἢ σθένος χερῶν.

Ἀγάθωνος.

γνώμη δὲ κρείσσων ἐστὶν, ἢ ῥώμη χερῶν.

Εὐριπίδου.

γνώμη γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα.
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία πλέον κακόν.

Τοῦ αὐτοῦ.

βραχύ τοι σθένος ἀνδρὸς, ἀλλὰ ποικιλίαι
πραπίδων.

πραπὶς. ίδος. præcordia. Intestina. vt pla. 291.

Τοῦ αὐτοῦ.

ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ.

Τοῦ αὐτοῦ.

στρατηλάται τἂν μυρίοι γενοίμεθα,
σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ.

Τοῦ αὐτοῦ.

εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος, ὡς ὁρμᾷ χερί,
ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι ἀνὴρ
πέφυκε, ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας.

σὲ μὲν



σὲ μὲν μάχεσθαι, τοῖς δὲ βουλεύειν καλῶς.

Τοῦ αὐτοῦ.

ἔχει δὲ καὶ τοῦτο οὐχὶ μικρὸν εὐγενὴς
ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν.

Τοῦ αὐτοῦ.

τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω καλῶς
γνῶναι τὸν ἐχθρὸν ᾗ μάλιστ' ἁλώσιμος.

Τοῦ αὐτοῦ.

ῥώμη δέ τ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.

Μενάνδρου.

ὅς τις στρατηγεῖ, μὴ στρατιώτης γενόμενος,
οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.

Θουκυδίδου ἱστορίας α.

Ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον.

## ΠΕΡΙ ΤΥΡΑΝΝΙΔΟΣ.

Εὐριπίδου.

Οὐδὲν τυράννου ἐστὶ δυσμενέστερον,
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶ νόμοι
κοινοί. κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος.

Τοῦ αὐτοῦ.

τυραννίδος δὲ τῆς πάλαι θρυλλουμένης,
τὸ μὲν πρόσωπον ἡδὺ, τἂν δόμοισι δὲ
λυπηρά. τίς γὰρ μακάριος, τίς εὐτυχὴς,
ὅς τις δεδοικὼς καὶ περιβλέπων βίον,
αἰῶνα τείνει δημότης ἂν εὖ τύχης;

Τοῦ αὐτοῦ.

κακοὶ δ' ὄλωντο πάντες οἱ τυραννίδι
χαίρουσιν, ὀλίγη τ' ἐν πόλει μοναρχίᾳ.

τῦλοι-

Universidad de Deusto Biblioteca

τὸ λεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,
κἂν μικρὸν ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται.

Τοῦ αὐτοῦ.

οὔτ' εἰκὸς ἄρχειν, οὔτ' ἐχρῆν εἶναι νόμον,
τύραννον εἶναι, μωρία δὲ καὶ θέλειν
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

Τοῦ αὐτοῦ.

φεῦ τὰ μεγάλα, μεγάλα καὶ πάσχει κακά.

Τοῦ αὐτοῦ.

τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς,
τυραννὶς, οὐχ εὕροις ἂν ἀθλιώτερον.
φίλους τε περθεῖν, καὶ κατακτανεῖν χρεὼν,
πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.

Τοῦ αὐτοῦ.

ὦ πλοῦτε καὶ τυραννὶς, καὶ τέχνη τέχνης,
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

Σοφοκλέους.

τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.

Δημοσθένους.

Καὶ ὅλως, ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς.

Φαλαρίδος.

Συγγνώμην ἔχω σοι τῶν παραινέσεων. τύραννος γὰρ οὐ γεγονὼς, τυράννῳ συμβουλεύεις καταθέσθαι τὴν τυραννίδα, οὐκ εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν ἀρχὴν ἐπισφαλέστερόν ἐστι τὸ καταθέσθαι.

Ἀντίγονος πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν, εἰ ᾔδεις, ἔφη, ὦ μᾶτερ ὅσων κακῶν μεστόν ἐστι τουτὶ τὸ ῥάκος,



κος, δείξασα τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας κείμενον αὐτὸ ἐβάστασας.

: El reynar es cosa tam trabajosa q̃ aunq̃ nos lo hallasemos en la calle no lo avriamos de alçar del suelo

Μενάνδρου ἀσπίδος.

ὦ τρισάθλιοι, τί πλέον ἔχουσι τῶν ἄλλων, βίον
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια
τηροῦντες, οἱ τὰς ἀκροπόλεις κεκτημένοι,
εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥαδίως
ἐγχειρίδιον ἔχοντας αὐτοῖς προσιέναι,
οἵαν δίκην διδόασιν.

Φαβωρίνου.

Ὥσπερ γὰρ τὰ θηρία τὴν σαγήνην ὑποχωροῦντα, εἰς ἐλάσσω τόπον συνάγεται, οὕτω δὴ καὶ τοὺς τυράννους ἐστὶν ἰδεῖν ἐπαναχωροῦντας, ἐκ μὲν τῆς Ἑλλάδος εἰς πόλιν, ἐκ δὲ τῆς πόλεως εἰς τὴν ἀκρόπολιν, εἶτ' εἰς τὴν οἰκίαν, ἔπειτ' εἰς τὸ δωμάτιον. εἶτα δύναται καταφυγεῖν ἄνθρωπος θεὸν φεύγων; ὅπου γὰρ ἂν καταφύγῃ, ἡ δίκη αὐτὸν εὑρίσκει. ∴ ἡ δίκη. ultio.

Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον, οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ. ἀληθῆ λέγεις, εἶπεν. εἰ γὰρ ὠφέλησο, ἀπέπαυσο ἂν τῆς τυραννίδος, ὥσπερ ἱδρὼς νόσου.

Ἐκ τῶν Διογένους διατριβῶν.

Δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων, ὁ μὲν βίος ἀμείνων, ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος. οἱ δ' αὖ κακῶς ζῶντες, τὸν μὲν βίον δυσχερέστερον φέρουσι, τὸν δὲ θάνατον ἥδιον προσδέχονται. τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα, ἢ τοῖς ἄλλοις. ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ ἐπιθυμούντων τεθνάναι. τὸν δὲ θάνατον οὕτω δεδοίκασιν, ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ.

ΠΕΡΙ

Universidad de Deusto
Biblioteca



## ΠΕΡΙ ΤΟΛΜΗΣ.

Οὔτ' ἂν μνησαίμην, οὔτ' ἂν λόγῳ ἄνδρα τιθείην,
οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης.
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηίκιον Βορέην.
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινυρέοιο μᾶλλον.
οὐδ' εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι.
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θέειδος ἀλκῆς.
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηίων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέῳ.

Εὐριπίδου.

τολμᾶν δὲ χρεών. ὁ γὰρ ἐν καιρῷ μόχθος
πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν.

Τοῦ αὐτοῦ.

νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί,
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος, εὐκλεὴς ἀνήρ.
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως. αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος.
θαρσύνῃ δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς,
οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.

αἶψα



statim – αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας. σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
αὐτὸς δ' ἐν προμάχοισι πεσών, φίλον ὤλεσε θυμόν,
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας.
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω.
οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίνεται ἀθάνατος.
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγοι μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ.
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην.
γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς, οὔτε δίκης ἐθέλει.
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμὸν μὴ μεθιεὶς πολέμου.

Εὐριπίδου.

σὺν τοῖσι δεινοῖς, αὔξεται κλέος βροτοῖς.

Τοῦ αὐτοῦ.

ἐμὲ δ' ἆρ' οὐ μοχθεῖν δίκαιον, τίς δ' ἀμόχθητος
εὐκλεής, τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο.

Τοῦ αὐτοῦ.

τόλμ' ἀεὶ, κἄν τι τραχὺ νέμωσι θεοί.

Τοῦ αὐτοῦ.

οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι,
τολμήμασι δὲ καὶ χερῶν ὑπερβολαῖς
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

Τοῦ αὐτοῦ.

τά τοι μέγιστα πάντ' ἀπεργάζεται βροτοῖς
τόλμα ὥστε νικᾶν. οὔτε γὰρ τυραννίδες
χωρὶς πόνου γένοιντ' ἂν, οὔτ' οἶκος μέγας.

Τοῦ αὐτοῦ.

νεανίας γὰρ ὅστις ὢν ἄρη στυγεῖ,
κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος,
ὅτ' ὄλβος ἔξωθεν τίς ἐστι πραγμάτων,
ἀλλ' οὐκ ἔνεστι στέφανος, οὐδ' εὐανδρία,
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα.
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

Ὁμήρου.

τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ἐρητύεται ἐνὶ φρεσὶ θυμὸς,
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει,
κῆρας ὀιομένῳ. πάταγος δέ γε κατ' ὀδόντων.
τοῦ δ' ἀγαθοῦ, οὔτ' ἄρ χρὼς, οὔτέ τι ταρβεῖ.

Μενάνδρου.

οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου.

Καλ-



Καλλίνου.

μέχρι τεῦ κατάκεισθε, κότ' ἄλκιμον ἕξετε θυμὸν,
ὦ νέοι, οὐδ' αἰδεῖσθ' ἀμφιπερικτυόνας;
ὧδε λίην μεθιέντες. ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

καί τις ἀποθνήσκων, ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι, καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσι. θάνατος δὲ τότ' ἔσσεται ὁππότε κεν δὴ
μοῖραι ἐπικλώσωσιν, ἀλλά τις ἰθὺς ἴτω,
ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν, · κως ·
ἄνδρ' οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν οὐκ ἔμπας δήμῳ φίλος, οὐδὲ ποθεινὸς.
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας ἤν τι πάθῃ.
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος, ζώων δ' ἄξιος ἡμιθέων.
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν.
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

Μοσχίωνος ἐκ Θεμιστοκλέους.

καὶ γὰρ ἐν νάπαις βραχεῖ πολὺς σιδήρῳ
κείρεται πεύκης κλάδος, καὶ βαιὸς ὄχλος
μυρίας λόγχης κρατεῖ.

Σωσιθέου.

εἷς μυρίους ὄρνιθας αἰετὸς φοβεῖ,

Χ 2 λαῶν

nullo // modo.

· halla en casa ·
est διαλεκτος // ionica. ἀντὶ // τοῦ πως - πῶς. // ut in lexico fro // benij anno do. 1524 // folio sequenti post // finem. quaternio // nis. o 4. // et vide // Sup. p/a. 274.

Universidad de Deusto Biblioteca



λαῶν δὲ δειλῶν πλῆθος οὐ γραφεὶς ἀνήρ.

Σοφοκλέους.

φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.

## ΠΕΡΙ ΤΑΦΗΣ.

Μενάνδρου.

Οὐ πώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν,
εἰς τὸν ἴσον δ' ὄγκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖν.

Τοῦ αὐτοῦ.

ἐάσατ' ἤδη γῇ καλυφθῆναι νεκρούς,
ὅθεν δ' ἕκαστον εἰς τὸ σῶμ' ἀφίκετο,
ἐνταῦθ' ἀπελθεῖν, πνεῦμα μὲν πρὸς αἰθέρα,
τὸ σῶμα δ' εἰς γῆν. οὔτι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτό, πλὴν ἐνοικῆσαι βίον,
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.

Εὐελπίδου.

ἀνθρώπων δὲ μαίνονται φρένες,
δαπάνας ὅτε θανοῦσι πέμπουσι κενάς.

Ὁμήρου.

ὄφρά ἑ ταρχύσωσι κασίγνητοί τε ἔται τε
τύμβῳ τε στήλῃ τε, τὸ γὰρ γέρας ἐστὶ θανόντων.
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας.

Ἐκ τῆς Νικολάου ἐθῶν συναγωγῆς.

Κίοι τοὺς ἀποθανόντας κατακαύσαντες, καὶ ὀστολογήσαντες, ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον, καὶ κόσκινον λαβόντες, ἀναπλέουσιν εἰς πέλαγος, καὶ πρὸς τὸν ἄνεμον σχεδιάζουσιν ἄχρις ἂν πάντα ἐμφυσηθῇ, καὶ ἀφανῆ γένηται.

Ταῦροι Σκυθικὸν ἔθνος τοῖς βασιλεῦσι τοὺς εὐνουστά-





τους τῶν φίλων συγκαταθάπτουσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου, ἢ μέρος, ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον, κατὰ τὴν ἀξίαν τοῦ τελευτήσαντος.

Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους ἂν πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ᾖ.

Κόλχοι τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ κρεμῶσιν ἐπὶ δένδρων.

Ἄνικοι Λίβυες ὅταν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα κατορύττουσι, τὴν δὲ κεφαλὴν ἀποκόψαντες καὶ χρυσώσαντες, ἀνατιθέασιν ἐν ἱερῷ.

## ΠΕΡΙ ΥΓΕΙΑΣ.

Πυθαγόρου.

Οὐδ' ὑγείας τῆς κατὰ σῶμ' ἀμέλειαν ἔχειν χρή,
ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει.
εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον.

ἀθρύπτως: in minutas partes secas

Ἀλκμαίων τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων, ὑγροῦ, ξηροῦ, θερμοῦ, πικροῦ, γλυκέος, τῶν λοιπῶν, τὴν δ' ἐν αὐτοῖς μοναρχίαν, νόσου παρασκευαστικὴν εἶναι.

Πυθαγόρου.

σαρκὸς φωνή, μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν.

Σωκράτης παρῄνει φυλάττεσθαι τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας.

Γοργίας ἐρωτηθείς, ποίᾳ διαίτῃ χρώμενος, εἰς μακρὸν γῆρας ἦλθεν· οὐδὲν οὐδέποτε, ἔφη, πρὸς ἡδονὴν οὔτε φαγών, οὔτε δράσας.

Universidad de Deusto
Biblioteca



Ἱπποκράτους.

σιτία, ποτά, ὕπνοι, ἀφροδίσια, πάντα μέτρια.

Πλουτάρχου.

Ὅθεν ἄριστα λέγεται, τὸ τροφῆς ἀκορεῖν, καὶ πόνων ἀοκνεῖν, καὶ σπέρματος οὐσίας τήρησιν ὑγιεινότατα εἶναι. καὶ γὰρ ἡ περὶ τὰς συνουσίας ἀκρασία παρὰ μάλιστα τὴν δύναμιν ἐκλύειν, ὑφ' ἧς ἡ τροφὴ διαπονεῖται, πλέον περιττώματα ποιεῖ, καὶ πλῆθος.

## ΠΕΡΙ ΥΠΕΡΟΨΙΑΣ.

Σωσιφάνους.

Ὦ δυστυχεῖς μὲν πολλά, παῦρα δ' ὄλβιοι,
βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις,
ἃς οὔτ' ἔδωκε φέγγος, οὔτ' ἀφείλετο,
ἂν δ' εὐτυχῆτε μηδὲν ὄντος εὐθέως
ἴσ' οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον
ᾅδην παρεστῶτ' οὐχ ὁρᾶτε πλούσιον.

Εὐριπίδου.

ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινά,
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον,
ὀφρῦν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.

Μενάνδρου.

οἱ τὰς ὀφρῦς αἴροντες ὡς ἀβέλτεροι,
καὶ σκέπτομαι λέγοντες. ἄνθρωπος γὰρ ὤν,
τί σκέψῃ σὺ περί του δυστυχὴς ὅταν τύχῃ;
αὐτόματα γὰρ τὰ πράγματ', ἐπὶ τὸ συμφέρον ῥεῖ,
κἂν καθευδήσῃ πάλιν τἀναντία.

Τοῦ αὐτοῦ.

ὦ τρισάθλιοι πάντες, οἱ φυσῶντες ἐφ' ἑαυτοῖς





μέγα, αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.

Τοῦ αὐτοῦ.

πᾶς ὁ μὴ φρονῶν, ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται.

Χαιρήμονος.

ὄλβος τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα.

Εὐριπίδου.

ὁρᾶτε τὸν τύραννον, ὡς ἄπους γέρων
φεύγει. φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

## ΠΕΡΙ ΦΡΟΝΗΣΕΩΣ.

Διφίλου.

Ὡς μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.

Εὐριπίδου.

ὀρθῶς μ' ἐπήρου, βούλομαι δέ σοι τέκνον,
φρονεῖς γὰρ ἤδη, κἀποσώζεις ἂν πατρὸς,
γνώμας φράσαντος ἂν θανὼν παραινέσαις,
κειμήλι' ἐσθλὰ καὶ νέοισι χρήσιμα,
βραχεῖ δὲ μύθῳ, πολλὰ συλλαβὼν ἐρῶ.
πρῶτον μὲν φρένας ἤπιον ἔχειν χρεὼν
παρὰ πλουσίῳ τε παρά τε μὴ διδοὺς μέρος
ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσι δίδου.
δυοῖν παρόντοιν πραγμάτοιν, πρὸς θάτερον
γνώμην προσάπτειν, τὴν ἐναντίαν μίσει.
ἀδίκως δὲ μὴ κτῶ χρήματα, ἢν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν. τὰ δ' ἀδίκως
οἴκους εἰσελθόντ' οὐκ ἔχει σωτηρίαν.
ἔχειν δὲ πειρῶ, τοῦτο γὰρ τότ' εὐγενές,
ἐν τοῖς πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
ἥ τ' ἀνανδρεία, ἥ τ' ἀτιμία βίου.
φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις

Universidad de Deusto
Biblioteca



κέκτησο, τοὺς δὲ πρὸς χάριν σοὶ ἡδονῇ
τῇ σῇ πονηροὺς κλεῖθρον εἰργέτω στέγης.
ὁμιλίας τε τὰς γεραιτέρας θέλε.
βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην.
ἐξουσίαν δὲ μήποτ' εὐτυχῶν τέκνον
αἰσχροὺς ἔρωτας δημοτῶν διωκάθειν,
ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,
χρηστῶν ποιητῶν ἄν τις αἰσχύνη τέκνα.
καὶ τοὺς πονηροὺς μήποτ' αὔξαιεν πόλει.
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
ἢ πόλεως, ἐμπεσόντες εἰς ἀρχήν τινα
σκιρτῶσιν ἀδίκως εὐτυχησάντων δόμων.
ἀλλ' ὦ τέκνον μοι δὸς χέρ' ὡς θίγῃ πατὴρ,
καὶ χαῖρ'. ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι.
γυναικόφρων γὰρ θυμὸς, οὐκ ἀνδρὸς σοφοῦ.

Αἰσχύλου.

ὁ χρήσιμ' εἰδὼς, οὐχ ὁ πόλλ' εἰδὼς σοφός.

Τοῦ αὐτοῦ.

ἢ χαίρειν ἔστ' ἄνθρωπος, ἂν ἄνθρωπος ᾖ.

Σοφοκλέους.

ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.

Μενάνδρου.

οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,
ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

Θεόγνιδος.

ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Εὐριπίδου.

νεανίας τε καὶ πένης σοφός θ' ἅμα





ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

Φωκυλλίδου.

πάντες ἴσον νέκυες, ψυχῶν δὲ θεὸς βασιλεύει.
ξυνὸς χῶρος ἅπασι πένησί τε καὶ βασιλεῦσι.
ὅπλον ἑκάστῳ νεῖμε θεὸς φύσιν ἠερόφοιτον.
λαγωοῖς πολλὴν ταχυτῆτ', ἀλκήν τε λέουσι,
ταύροις δ' αὐτοχύτοις κεράεσσιν, κέντρα μελίσσαις
ἔμφυτον ἄλκαρ ἔδωκε. λόγος δ' ἔρυμ' ἀνθρώποισι
τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.

Μενάνδρου.

φόβος δὲ τὰ θεῖα τοῖσι σώφροσι βροτῶν.
μὴ πλοῦτον εἴπῃς οὐχὶ θαυμάζω θεὸν,
ὃν καὶ κάκιστος ῥαδίως ἐκτήσατο.
οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.
αἰαῖ τὸ δ' ἤδη θεῖον ἀνθρώποις κακὸν,
ὅταν τις εἰδῇ τἀγαθὸν, χρῆται δὲ μή.
ἐπεί τι δὴ βροτοῖσι πλὴν δυοῖν μόνοιν
Δήμητρος ἀκτῆς πώματος θ' ὑδρηχόου.
εἱμαρμένων δὲ τῶν κακῶν βουλευμάτων,
κακὰς ἀμοιβὰς ἐστὶ καρποῦσθαι βροτοῖς.

Μενάνδρου.

ὅταν ἕτερός σοι μηδὲ ἓν πλέον διδῷ,
δέξαι. τὸ μέρος τοῦ λαβεῖν γὰρ μηδὲ ἓν,
τὸ λαβεῖν ἔλαττον πλεῖον ἔσται σοι πολύ.

Τοῦ αὐτοῦ.

ἰσχὺς, καὶ τεῖχος, καὶ ὅπλον, σοφοῦ ἡ φρόνησις.

Τοῦ αὐτοῦ.

οὗτος κράτιστός ἐστ' ἀνὴρ, ὦ Γοργία,

Universidad de Deusto
Biblioteca



ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται βροτῶν.

Εὐριπίδου.

τρεῖς εἰσὶν ἀρεταί, ἃς χρεών σ' ἀσκεῖν τέκνον.
θεούς τε τιμᾶν τούς τε θρέψαντας γονεῖς,
νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν,
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

## ΠΕΡΙ ΧΡΗΣΤΟΤΗΤΟΣ.

Μενάνδρου.

Οὐθεὶς πονηρὸν πρᾶγμα χρηστὸς ὢν ποιεῖ.

Τοῦ αὐτοῦ.

ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.

Θεόγνιδος.

: κύρνε. nomē proprium. v. e pla. 224 et 282.

κύρν' ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ τ' ἔν τ' ἀγαθοῖς κείμενος, ἔν τε κακοῖς.
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσοι,
ἀφραίνων βίοτον οὐ δύναται κατέχειν.

Σοφοκλέους.

οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
εὔκλειαν αἰσχύναι θέλει.

Μενάνδρου.

σὺ μὲν παραινεῖς ταῦτα ὅσα σοι πρέπει,
ἐμὲ δὲ ποιεῖν τὸ καθῆκον, οὐχ ὁ σὸς
λόγος εὖ ἴσθ' ἀκριβῶς, ὁ δ' ἴδιος πείθει τρόπος.

Τοῦ αὐτοῦ.

ὁ χρηστὸς ἐστὶ πολλαχοῦ ἐπιτήδειος.

Τοῦ αὐτοῦ.

τὸ χρηστὰ πράττειν, ἔργον ἐστ' ἐλευθέρου.

Διφίλου.

μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.

Μενάνδρου.



Μενάνδρου.

χρηστοὺς νομιζομένους ἐφόδιον ἀσφαλὲς
εἰς πάντα καιρόν, καὶ τύχης ῥοπὴν πάσαν.

Τοῦ αὐτοῦ.

ἀλλὰ τῶν χρηστῶν ἔχει τιν' ἐπιμέλειαν καὶ θεός.

Τοῦ αὐτοῦ.

καὶ ταῖς ἀπορίαις ἔσθ' ὁ χρηστὸς χρήσιμος.

Ἀντιφάνους.

τρόπος δίκαιος, κτῆμα τιμιώτατον.

Ποσιδίππου.

διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

Πείθου.

τρόπος ἐστὶ χρηστὸς ἀσφαλέστερος νόμου.
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
ῥήτωρ δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω
λόγοις ταράσσων πολλάκις λυμαίνεται.

Θεόγνιδος.

ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς,
vere. οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Μενάνδρου.

νὴ τὴν Ἀθηνᾶν μακάριον ἡ χρηστότης
πρὸς πάντα, καὶ θαυμαστὸν ἐφόδιον τῷ βίῳ.
τούτῳ λαλήσας ἡμέρας σμικρὸν μέρος,
εὔνους ἐγὼ νῦν εἰμί. πιστικὸν λόγος.
πρὸς ταῦτ' ἂν εἴποι τις μάλιστα τῶν σοφῶν,
τί οὖν ἑτέρους λαλοῦντας οὐ βδελύττομαι;
τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος.

Τοῦ αὐτοῦ.

Universidad de Deusto
Biblioteca



Τοῦ αὐτοῦ.

τὸ δ᾽ εὐθικὲς ὠφελεῖ τὰς ξυμφοράς.

Θεοφράστου.

Ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται, οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους, ἀλλ᾽ οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται.

Θεμιστοκλῆς χωρίον πωλῶν, ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει. ὅτι

Σόλωνος.

Τρόπου καλοκαγαθίαν, ὅρκου πιστοτέραν ἔχε.

Οἷσιν ὁ τρόπος εὔτακτος, τούτοισι καὶ βίος συντέτακται.

:cuz postulasset // homo nequā // ab eo. aliquod // stipendiū-

Ἀριστοτέλης ὁ φιλόσοφος αἰτηθείς, ποτὲ ἔρανον ὑπὸ μοχθηροῦ, καὶ πραττόμενος, ἐπειδὴ ἐλάβετό τις αὐτοῦ, ὅτι τοιούτῳ ἔδωκεν, οὐ τῷ ἀνθρώπῳ, ἔφη, ἀλλὰ τῷ ἀνθρωπίνῳ.

Βίας ἔφη, οἱ ἀγαθοὶ εὐαπάτητοι.

Ὁ Σκιπίων ὁ Πολυβίου παράγγελμα ἐπειρᾶτο, μὴ πρότερον ἐξ ἀγορᾶς ἀνελθεῖν, ἢ κτήσασθαί τινα συνήθη καὶ φίλον.

## ΠΕΡΙ ΨΕΥΔΟΥΣ.

Σοφοκλέους.

Ἀλλ᾽ οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.

Τοῦ αὐτοῦ.

καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν.
ὅτῳ δ᾽ ὄλεθρον δεινὸν ἡ ἀλήθει᾽ ἄγει,
συγγνωστόν ἐστιν εἰπεῖν καὶ τὸ μὴ καλόν.

Μενάνδρου.

κρεῖττον ἐλέσθαι ψεῦδος, ἢ ἀληθὲς καλόν.

Πινδ-



Πινδάρου.

οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

Ὁμήρου.

ψεῦδος δ᾽ οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί.

Χαιρήμονος.

ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν.

Εὐριπίδου.

δύστηνος, ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων,
οὐ τοῖσδε χρῆται τοῖς κακοῖς ἀληθέσιν.

Τοῦ αὐτοῦ.

ἐγὼ γέ φημι καὶ νόμους γε μὴ σέβειν
ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον
ληθομυθεύειν χρεὼν ὅπου λῷον.

Θεόγνιδος.

ἀρχὴ ἐπὶ ψεύδους μικρὰ χάρις, εἰς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον
γίνεται, οὐδέ τι καλὸν ὅτῳ ψεῦδος προσομαρτεῖ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Ψεύδεσθαι προχειρότατον τοῖς πολλάκις ἁμαρτάνουσι.

Θαλῆς ὁ Μιλήσιος ἐρωτηθείς, πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, ὅσον, ἔφη, ὀφθαλμοὶ τῶν ὤτων.

Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Χῖος γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὴν τρίχα πολιὰν οὖσαν, ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν εἶπεν ἐκεῖνα, ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ Ἀρχίδαμος, τί ἄν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει.

ΤΕΛΟΣ.

ΠΛΟΥ-

plutarchus vixit tempore neronis et a trajano fuit honoratus potestate consulari, jussitque presidibus Illirici ut nihil facerent sine eius sententia. Suidas. y esto y mal con el pues no fue christiano abiendo visto en aquellos tiempos tantos mylagros y esto lo tenja notado en sus griegos paralleles en un libro myo. y q̃ no fue se christiano se prueba abaxo plana 340. do dize Ζεῦ. et plana 348. dize lo mismo. et plana 338.

Universidad



# ΠΛΟΥΤΑΡΧΟΥ ΧΑΙΡΩΝΕΩΣ ΠΕΡΙ ΠΑΙΔΩΝ ἀγωγῆς.

Τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς, καὶ τίνι χρώμενοι σπουδαῖοι ἂν τοὺς τρόπους ἀποβαῖεν, φέρε σκεψώμεθα. βέλτιον δ᾽ ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν, ὑποθέμην ἂν ἔγωγε μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν. λέγω δὲ, οἷον ἑταίραις, ἢ παλλακαῖς. τοῖς γὰρ μητρόθεν ἢ πατρόθεν οὐκ εὖ γεγονόσιν, ἀνεξάλειπτα παρακολουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον, καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι βουλομένοις. καὶ σοφὸς ἦν ἄρα ὁ ποιητὴς ὅς φησιν· ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους. καλὸς οὖν παρρησίας θησαυρὸς, εὐγένεια. ἧς δὴ πλεῖστον λόγον ποιητέον, τοῖς νομίμου παιδοποιίας γλιχομένοις. καὶ μὲν δὴ καὶ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος, σφάλλεσθαι καὶ ταπεινοῦσθαι πέφυκε. καὶ μάλα ὀρθῶς ὁ λέγων ποιητής φησι· δουλοῖ γὰρ ἄνδρα κἂν θρασύσπλαγχνός τις ᾖ, ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά. ὥσπερ ἀμέλει τοὐναντίον μεγαλαυχίας ἐμπίπλανται καὶ φρυάγματος, οἱ γονέων διασήμων. Διόφαντον γοῦν τὸν Θεμιστοκλέους, πολλάκις λέγουσι φάναι καὶ πρὸς πολλοὺς, ὡς ὅ, τι ἂν αὐτὸς βούληται, τοῦτο καὶ τῷ δήμῳ συνδοκεῖν τῶν Ἀθηναίων. ἃ μὲν γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ. ἃ δ᾽ ἂν ἡ μήτηρ, καὶ Θεμιστοκλῆς. ἃ δ᾽ ἂν Θεμιστοκλῆς, καὶ πάντες Ἀθηναῖοι. πάνυ δ᾽ ἄξιον ἐπαινεῖν καὶ

Λακεδαι-

δουλοῖ.

φρύαγμα. anhelitus equi currentis.

Diophantus filius themistoclis.



Λακεδαιμονίους τῆς μεγαλοφροσύνης. οἵ τινες Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ὑπειπόντες ὡς οὐ βασιλέας, ἀλλὰ βασιλίδας παρέξειν αὐτοῖς διανοοῖτο. ἐχόμενον δ᾽ ἂν εἴη τούτων εἰπεῖν, ὅπερ οὐδ᾽ οἱ πρὸ ἡμῶν παρεώρων. τὸ ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιίας πλησιάζοντας ταῖς γυναιξὶν, ἤτοι τὸ παράπαν ἀοίνους, ἢ μετρίως γοῦν οἰνωμένους ποιεῖσθαι προσήκει τὴν συνουσίαν. φίλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν, ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. ᾗ καὶ Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν, νεανίσκε, ἔφησεν, ὁ πατήρ σε μεθύων ἔσπειρε. καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω μοι. περὶ δὲ τῆς ἀγωγῆς, ἤδη λεκτέον. καθόλου μὲν εἰπεῖν ὃ κατὰ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν λέγειν εἰώθαμεν, ταὐτὸν καὶ κατὰ τῆς ἀρετῆς φατέον ἐστίν. ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν, τρία δεῖ συνδραμεῖν, φύσιν, καὶ λόγον, καὶ ἔθος. καλῶ δὲ λόγον μὲν τὴν μάθησιν, ἔθος δὲ τὴν ἄσκησιν. εἰσὶ δ᾽ αἱ μὲν ἀρχαὶ τῆς μαθήσεως, αἱ δὲ χρήσεις τῆς μελέτης, αἱ δ᾽ ἀκρότητες πάντων. καθ᾽ ὃ δ᾽ ἂν λειφθῇ τι τούτων, κατὰ τοῦτ᾽ ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετήν. ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως, τυφλόν. ἡ δὲ μάθησις δίχα φύσεως, ἐλλιπές. ἡ δ᾽ ἄσκησις χωρὶς ἀμφοῖν, ἀτελές. ὥσπερ δ᾽ ἐπὶ τῆς γεωργίας, πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα, τὸν αὐτὸν τρόπον, γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα. ταῦτα πάντα διατεινόμενος εἴποιμι, ὅτι συνῆλθε καὶ συνέπνευσεν εἰς τὰς τῶν πρὸ ἅπασιν

ᾀδομένων

ἐζημίωσαν. pena pecuniaria mulctatus fuit et ignominias notatus.

qual engendre el hombre tal es ... defiende.

ἐζημίωσαν

dela ... mucha ... de ... tanto ... como ...

ut supra plana 155.

χωλὴν. coxa.

sone στίχα ἀνα χωρεῖ

Universidad de Deusto Biblioteca



ἀσκουμένων ψυχαῖς, Πυθαγόρου τε Σωκράτους καὶ Πλάτωνος, καὶ τῶν ὅσοι δόξης ἀειμνήστου τετυχήκασιν. εὐδαίμων μὲν οὖν καὶ θεοφιλὴς εἴ τῳ ταῦτα πάντα θεῶν τις ἀπέδωκεν. εἰ δέ τις οἴεται τοὺς οὐκ εὖ πεφυκότας, μαθήσεώς τε καὶ μελέτης τυχόντας ὀρθῆς πρὸς ἀρετήν, οὐκ ἂν τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τοὐνδεχόμενον ἀναδραμεῖν, ἴστω πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνων. φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥαθυμία. φαυλότητα δὲ ἐπανορθοῖ διδαχή. καὶ τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας φεύγει, τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁλίσκεται. καταμάθοις δ' ἄν, ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν ἐπιμέλεια, καὶ πόνος ἐστίν, ἐπὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας. σταγόνες μὲν γὰρ ὕδατος, πέτρας κοιλαίνουσι. σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν χειρῶν ἐκτρίβονται. οἱ δ' ἁρματήλατοι τροχοὶ πόνῳ καμφθέντες, οὐδ' ἄν, εἴ τι γένοιτο, τὴν ἐξ ἀρχῆς δύναιντο ἂν λαβεῖν εὐθυωρίαν. τάς γε μὴν καμπύλας τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύνειν ἀμήχανον. ἀλλὰ τὸ παρὰ φύσιν, τῷ πόνῳ τοῦ κατὰ φύσιν ἐγένετο κρεῖττον. καὶ μόνα ἆρα ταῦτα τῆς ἐπιμελείας ἰσχὺν διαδείκνυσιν; οὐκ. ἀλλὰ καὶ μυρία ἐπὶ μυρίοις. ἀγαθὴ γῆ πέφυκεν, ἀλλ' ἀμεληθεῖσα χερσεύεται. καὶ ὅσῳ τῇ φύσει βελτίων ἐστί, τοσούτῳ μᾶλλον ἐξαργηθεῖσα δι' ἀμέλειαν, ἐξαπόλλυται. ἀλλ' ἔστι τις ἀπόκροτος καὶ τραχυτέρα τοῦ δέοντος, ἀλλὰ γεωργηθεῖσα, παραυτίκα γενναίους καρποὺς ἐξήνεγκε. ποῖα δὲ δένδρα, οὐκ ὀλιγωρηθέντα μὲν στρεβλὰ φύεται καὶ ἄκαρπα καθίσταται. τυχόντα δὲ ὀρθῆς παιδαγωγίας, ἔγκαρπα γίνονται καὶ τελεσφόρα. ποία δὲ σώματος ἰσχὺς οὐκ ἐξαμβλοῦται καὶ καταφθίνει δι' ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν. τίς δ' ἀσθενὴς φύσις οὐ τοῖς γεγυμνασμένοις καὶ καταθλήσασι πλεῖστον





εἰς ἰσχὺν ἐπέδωκε. τίνες δ' ἵπποι καλῶς πωλοδαμνηθέντες, οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις· τίνες δὲ ἀδάμαστοι μείναντες, οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβησαν. καὶ τί δεῖ τἆλλα θαυμάζειν, ὅπου γε τῶν θηρίων τὰ ἀγριώτατα ὁρῶμεν πολλὰ τιθασσευόμενα καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις; εὖ δὲ καὶ ὁ Θετταλὸς ἐρωτηθείς, τίνες εἰσὶν οἱ ἠπιώτατοι Θετταλῶν, ἔφη· οἱ παυόμενοι πολεμεῖν. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἦθός ἐστι πολυχρόνιον, καὶ τὰς ἠθικὰς ἀρετὰς ἐοικυίας ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. ἑνὶ δὲ περὶ τούτων ἔτι παραδείγματι χρησάμενος, ἀπαλλάξομαι τοῦ ἔτι περὶ αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ ὁ τῶν Λακεδαιμονίων νομοθέτης, δύο σκύλακας τῶν αὐτῶν γονέων λαβών, οὐδὲν ὁμοίους ἀλλήλοις ἤγαγεν, ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμωρον, τὸν δὲ ἰχνεύειν καὶ θηρᾶν δυνατόν. εἶτα ποτὲ τῶν Λακεδαιμονίων εἰς ταὐτὸ συνειλεγμένων, μεγάλη τοι ῥοπὴ πρὸς ἀρετῆς κτῆσίν ἐστιν ἄνδρες ἔφησε Λακεδαιμόνιοι, καὶ ἔθη, καὶ παιδεῖαι, καὶ διδασκαλίαι, καὶ βίων ἀγωγαί. καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά· εἶτα προσαγαγὼν τοὺς δύο σκύλακας, διαφῆκε, καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγωὸν κατευθὺ τῶν σκυλάκων. καὶ ὁ μὲν ἰθὺ τὸν λαγωὸν ᾖξεν, ὁ δὲ ἐπὶ τὴν λοπάδα ὥρμησε. τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων τί ποτε αὐτῷ τοῦτο δύναται, καὶ τί βουλόμενος τοὺς σκύλακας ἐπεδείκνυεν. οὗτοι γονέων, ἔφη, τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγωγῆς, ὁ μὲν λίχνος, ὁ δὲ θηρευτὴς ἀποβέβηκε. καὶ περὶ μὲν ἐθῶν καὶ βίων, ἀρκείτω ταῦτα· περὶ δὲ τροφῆς, ἐχόμενον ἂν

Universidad de Deusto Biblioteca



εἴη λέγειν. δεῖ δὲ, ὡς ἐγὼ ἂν φαίην, αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν, καὶ τούτοις ὑπέχειν τοὺς μαστούς. συμπαθέστερόν τε γὰρ θρέψουσι, καὶ διὰ πλείονος ἐπιμελείας, ὡς ἂν ἔνδοθεν καὶ τὸ δὴ λεγόμενον, ἐξ ὀνύχων ἀγαπῶσι τὰ τέκνα. αἱ τίτθαι δὲ καὶ αἱ τροφοὶ, τὴν εὔνοιαν ὑποβολιμαίαν καὶ παρέγγραπτον ἔχουσιν, ἅτε μισθοῦ φιλοῦσαι. δηλοῖ δὲ καὶ ἡ φύσις, ὅτι δεῖ τὰς μητέρας ἃ γεγεννήκασιν, αὐτὰς τιτθεύειν καὶ τρέφειν. διὰ γὰρ τοῦτο παντὶ ζώῳ τεκόντι, τὴν ἐκ τοῦ γάλακτος τροφὴν ἐχορήγησε. σοφὸν δ' ἄρα ἡ πρόνοια, διττοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς μαστούς. ἵνα καὶ εἰ δίδυμα τέκοιεν, διττὰς ἔχοιεν τὰς τῆς τροφῆς πηγάς. χωρὶς δὲ τούτων, εὔνους καὶ τοῖς τέκνοις γίγνοιντ' ἂν, καὶ φιλητικώτεραι. καὶ μὰ Δί' οὐκ ἀπεικότως. ἡ συντροφία γὰρ, ὥσπερ ἐπιτόνιόν ἐστι τῆς εὐνοίας. καὶ γὰρ τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα, ταῦτα ποθοῦντα φαίνεται. μάλιστα μὲν οὖν ὥσπερ ἔφην, αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας. εἰ δ' ἄρ' ἀδυνάτως ἔχοιεν, ἢ διὰ σώματος ἀσθένειαν, γένοιτο γὰρ ἄν τι καὶ τοιοῦτον, ἢ πρὸς ἑτέρων τέκνων σπεύδουσαι γένεσιν. ἀλλὰ τάς γε τίτθας καὶ τροφοὺς, οὐ τὰς τυχούσας, ἀλλ' ὡς ἔνι μάλιστα σπουδαίας δοκιμαστέον ἐστί. πρῶτον μὲν τοῖς ἤθεσιν ἑλληνίδας. ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος εὐθὺς ἀπὸ γενέσεως πλάττειν τῶν τέκνων ἀναγκαῖόν ἐστιν, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστραβῆ φύηται, τὸν αὐτὸν τρόπον ἐξ ἀρχῆς τὰ τῶν τέκνων ἤθη ῥυθμίζειν προσήκει. εὔπλαστον γὰρ καὶ ὑγρὸν, ἡ νεότης. καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθήματα ἐντήκεται. πᾶν δὲ τὸ σκληρὸν, χαλεπῶς μαλάττεται. καθάπερ γὰρ σφραγῖδες τοῖς ἁπαλοῖς ἐναπομάττονται κηροῖς, οὕτως αἱ μαθήσεις ταῖς τῶν ἔτι παιδίων ψυχαῖς ἐναποτυποῦνται. καί

μοι



μοι δοκεῖ πλάτων ὁ δαιμόνιος, ἐμμελῶς παραινεῖν ταῖς τίτθαις, μὴ τοὺς τυχόντας μύθους τοῖς παιδίοις λέγειν, ἵνα μὴ τὰς τούτων ψυχὰς ἐξ ἀρχῆς, ἀνοίας καὶ διαφθορᾶς ἀναπίμπλασθαι συμβαίνῃ. κινδυνεύει δὲ καὶ φωκυλίδης ὁ ποιητὴς καλῶς παραινεῖν λέγων· χρὴ παῖδ' ἔτ' ἐόντα, καλὰ διδάσκειν ἔργα. οὐ τοίνυν οὐδὲ τοῦτο παραλιπεῖν ἄξιόν ἐστιν, ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς τροφίμοις ὑπηρετεῖν, καὶ τούτοις σύντροφα γίνεσθαι, ζητητέον πρώτιστα μὲν, σπουδαῖα τοὺς τρόπους. ἔτι μέντοι ἑλληνικὰ καὶ περίτρανα λαλεῖν, ἵνα μὴ συναναχρωννύμενοι βαρβάροις καὶ τὸ ἦθος μοχθηροῖς, ἀποφέρωνταί τι τῆς ἐκείνων φαυλότητος. καὶ οἱ παροιμιαζόμενοι δέ φασιν, οὐκ ἀπὸ τρόπου λέγοντες· ὅτι ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ. ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν, ὑπὸ παιδαγωγοῖς τετάχθαι. ἐνταῦθα δὴ ἐπιμέλειαν ἑκτέον τῆς τούτων καταστάσεως, ὡς μὴ λάθωσιν ἀνδραπόδοις ἢ βαρβάροις, ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. ἐπεὶ νῦν γε τὸ γινόμενον πολλοῖς, ὑπερκαταγέλαστόν ἐστι. τῶν γὰρ δούλων τῶν σπουδαίων, τοὺς μὲν γεωργοὺς ἀποδεικνύουσι, τοὺς δὲ ναυκλήρους, τοὺς δὲ ἐμπόρους, τοὺς δὲ οἰκονόμους, τοὺς δὲ δανειστάς. ὅτι δ' ἂν εὕρωσιν ἀνδράποδον οἰνόληπτον καὶ λίχνον πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν εἶναι τοιοῦτον τὴν φύσιν, οἷός περ ἦν ὁ φοῖνιξ ὁ τοῦ ἀχιλλέως παιδαγωγός. τὸ δὲ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων, ἔρχομαι φράσων. διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι, καὶ ταῖς ἐμπειρίαις ἄριστοι. πηγὴ γὰρ καὶ ῥίζα καλοκαγαθίας, τὸ νομίμου τυχεῖν παιδείας. καὶ

 καθάπερ

Universidad de Deusto Biblioteca



: los estantales q les arriman

καθάπερ τοὺς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων, ἐμμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνοι τὰ ἤθη. νῦν δέ τις κἂν καταπτύσειε τῶν πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν, δι' ἄγνοιαν, ἔσθ' ὅτε καὶ δι' ἀπειρίαν, ἀνθρώποις ἀδοκίμοις καὶ παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας. καὶ οὔπω τοῦτό ἐστι καταγέλαστον, εἰ καὶ δι' ἀπειρίαν αὐτὸ πράττουσιν. ἐκεῖνο δὲ ἐσχάτως ἄτοπον. τὸ πῶς; ἐνίοτε γὰρ εἰδότες, αἰσθομένοις μᾶλλον αὐτοῖς ἑτέρων λεγόντων, τὴν ἐνίων τῶν παιδευόντων ἀπειρίαν ἅμα καὶ μοχθηρίαν, ὅμως τούτοις ἐπιτρέπουσι τοὺς παῖδας. οἱ μὲν ταῖς τῶν ἀρεσκομένων ἡττώμενοι κολακείαις. εἰσὶ δ', οἳ δεομένοις χαριζόμενοι φίλοις παρόμοιον ποιοῦντες. ὥσπερ ἂν εἴ τις τὸ σῶμα κάμνων, τὸν σὺν ἐπιστήμῃ σῶσαι δυνηθέντα ἂν παραλιπών, φίλῳ χαριζόμενος, τὸν δι' ἀπειρίαν ἀπολέσοντα ἂν αὐτὸν προέλοιτο. ἢ ναύκληρον τὸν ἄριστον ἀφεὶς, τὸν χείριστον δοκιμάσειε, φίλου δεηθέντος. Ζεῦ καὶ θεοὶ πάντες. πατήρ τις καλούμενος, πλείω λόγον τῆς τῶν δεομένων ποιεῖται χάριτος, ἢ τῆς τῶν τέκνων παιδεύσεως; ἆρ' οὖν οὐκ εἰκότα πολλάκις ὁ Σωκράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν, ὅτι εἴπερ ἄρα δυνατόν, ἐχρῆν ἀναβάντα ἐπὶ τὸ μετεωρότατον τῆς πόλεως ἀνακραγεῖν. μόνος, ὦ ἄνθρωποι, ποῖ φέρεσθε; οἵτινες χρημάτων μὲν κτήσεως πέρι, πᾶσαν ποιεῖσθε σπουδήν, τῶν δ' υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε; τούτοις δ' ἂν ἔγωγε προσθείην, ὅτι οἱ τοιοῦτοι πατέρες παραπλήσιον ποιοῦσιν, οἷ' ἄν εἴ τις τοῦ μὲν ὑποδήματος φροντίζοι, τοῦ δὲ ποδὸς ὀλιγώρως ἔχοι. πολλοὶ δ' εἰς τοσοῦτον τῶν πατέρων προβαί-

: et si vel quabis

E quod nas

Ibi Ζεῦ. ergo plutarcho no fue christiano pudiendolo ser pues fue en tiempo de trajano. ut dixi sup plana 334. et hoc probative plana 348. do Jura a Jupiter. y por esto estoy mal con sus bachillerias pues ygnoro el bien q̄ q̄ria era saber.





νουσι φιλαργυρίας ἅμα καὶ μισοτεκνίας, ὥσθ' ἵνα μὴ πλείονα μισθὸν τελέσειαν, ἀνθρώπους τοὺς μηδενὸς τιμίους αἱροῦνται τοῖς τέκνοις παιδευτάς, εὔωνον ἀμαθίαν διώκοντες. ᾗ καὶ Ἀρίστιππος οὐκ ἀκόμψως, ἀλλὰ καὶ πάνυ ἀστείως ἐπέσκωψε τῷ λόγῳ, πατέρα νοῦ καὶ φρενῶν κενόν. ἐρωτήσαντος γάρ τινος αὐτόν, πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως; χιλίας, ἔφη, δραχμάς. τοῦ δ' Ἡράκλεις εἰπόντος, ὡς ὑπέρπολυ τὸ αἴτημα. δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι. τοιγαροῦν εἶπε, δύο ἕξεις ἀνδράποδα, καὶ τὸν υἱόν, καὶ ὃν ἂν πρίῃ. τὸ δ' ὅλον πῶς οὐκ ἄτοπον, τῇ μὲν δεξιᾷ συνεθίζειν τὰ παιδία δέχεσθαι τὰς τροφάς, κἂν προτείνῃ τὴν ἀριστερὰν ἐπιτιμᾶν, μηδεμίαν δὲ ποιεῖσθαι πρόνοιαν τοῦ λόγων ἐπιδεξίων καὶ νομίμων ἀκούειν. τί οὖν συμβαίνει τοῖς θαυμαστοῖς πατράσιν, ἐπειδὰν κακῶς μὲν θρέψωσι, κακῶς δὲ παιδεύσωσι τοὺς υἱεῖς, ἐγὼ φράσω. ὅταν γὰρ εἰς ἄνδρας ἐγγραφέντες, τοῦ μὲν ὑγιαίνοντος καὶ τεταγμένου βίου καταφρονήσωσιν, εἰς δὲ τὰς ἀτάκτους καὶ ἀνδραποδώδεις ἡδονὰς ἑαυτοὺς κατακρημνίσωσι, τότε δὴ μεταμέλονται τῆς τῶν τέκνων προδεδωκότες παιδείαν, ὅτε οὐδὲν ὄφελος, τοῖς ἐκείνων ἀδικήμασιν ἀδημονοῦντες. οἱ μὲν γὰρ αὐτῶν κόλακας καὶ παρασίτους ἀναλαμβάνουσιν, ἀνθρώπους ἀσήμους καὶ καταράτους, καὶ τῆς νεότητος ἀνατροπέας καὶ λυμεῶνας. οἱ δὲ ἑταίρας καὶ χαμαιτύπας λύουσι, σοβαρὰς καὶ πολυτελεῖς. οἱ δὲ κατοψοφαγοῦσιν, οἱ δ' εἰς κύβους καὶ κώμους ἐξοκέλλουσιν. ἤδη δέ τινες καὶ τῶν νεανικωτέρων ἅπτονται κακῶν, μοιχεύοντες καὶ κισσοφοροῦντες, καὶ μίαν ἡδονὴν θανάτου πριάμενοι. φιλοσόφῳ δ' ὁμιλήσαντες οὗτοι, οὐ τοῖς ἴσοις πράγμασιν ἑαυτοὺς ἂν καταπειθεῖς παρέχοντο. καὶ τό γε παράγγελμα τοῦ Διο-

Sicut

· q̄ quello poco.

: hoc habet sup. pla. 203. et 157. linea 1. esty ἀν δράποδον mancipium vel esclavo.

: ἐξοκέλλω. de navi dicitur quando encalla. ut plana 62.

γεῦς ἔμαθον αὖ, ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν, ἀληθῶς δὲ τοῖς πράγμασι παραινεῖ, καί φησιν· εἰσελθὼν εἰς κουρεῖόν ποτε, ἵνα μάθῃς, ὅτι τῶν ἀναξίων τὰ τίμια οὐδὲν διαφέρει. συνελὼν τοίνυν ἐγώ φημι καὶ χρησμολογεῖν μᾶλλον ἢ παραινεῖν δόξαιμ' ἂν εἰκότως, ὅτι ἓν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον, ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστι. καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν, καὶ πρὸς εὐδαιμονίαν φημί. καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώπινα καὶ μικρά, καὶ οὐκ ἀξιοσπούδαστα καθέστηκεν. εὐγένεια καλὸν μὲν, ἀλλὰ προγόνων ἀγαθόν. πλοῦτος δὲ τίμιον μὲν, ἀλλὰ τύχης κτῆμα. ἐπειδὴ τοῖς μὲν ἔχουσι πολλάκις ἀφείλετο. τοῖς δ' οὐκ ἐλπίσασι, φέρουσα προσήνεγκε. καὶ ὁ πολὺς πλοῦτος, σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλλάντια τοξεύειν, κακούργοις οἰκέταις καὶ συκοφάνταις. καὶ τὸ μέγιστον, ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστι. δόξα γε μὴν, σεμνὸν, ἀλλ' ἀβέβαιον. κάλλος δὲ περιμάχητον μὲν, ἀλλ' ὀλιγοχρόνιον. ὑγίεια δὲ, τίμιον μὲν, ἀλλ' εὐμετάστατον. ἰσχὺς δὲ ζηλωτὸν μὲν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. καθόλου δὲ εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. πόσον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζώων δυνάμεως, λέγω δὲ οἷ ἐλεφάντων καὶ ταύρων καὶ λεόντων. παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. καὶ ὁ μὲν νοῦς ἀρχικόν ἐστι τοῦ λόγου. ὁ δὲ λόγος, ὑπηρετικὸς τοῦ νοῦ, τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δὲ ἀδιάφθορος, γήρᾳ δ' ἀλύμαντος. μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ. καὶ ὁ χρόνος τἄλλα πάντ' ἀφαιρῶν, τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. ὅ γε μὴν πόλεμος χει-

// las bellotas. se son de enzinas/o las datiles si son de // palma



μος χειμάρρου δίκην πάντα σύρων, καὶ πάντα παραφέρων, μόνην οὐ δύναται παιδείαν παρελέσθαι. καί μοι δοκεῖ Στίλπων ὁ Μεγαρεὺς φιλόσοφος, ἀξιομνημόνευτον ποιῆσαι ἀπόκρισιν, ὅτε Δημήτριος ἐξανδραποδισάμενος τὴν πόλιν εἰς ἔδαφος κατέβαλε, καὶ τὸν Στίλπωνα ἤρετο, μή τι ἀπολωλεκὼς εἴη. καὶ ὅς, οὐ δῆτα εἶπε. πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν. σύμφωνος δὲ καὶ συνῳδὸς, καὶ ἡ Σωκράτους ἀπόκρισις ταύτῃ φαίνεται. καὶ γὰρ οὗτος ἐρωτήσαντος αὐτὸν, μοὶ δοκεῖ, Γοργίου, ἣν ἔχει περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν, καὶ εἰ νομίζοι τοῦτον εὐδαίμονα εἶναι, οὐκ οἶδα ἔφησε, πῶς ἀρετῆς καὶ παιδείας ἔχει. ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένης. ὥσπερ δὲ παραινῶ, τῆς παιδείας τῶν τέκνων μηδὲν ποιεῖσθαι προυργιαίτερον, οὕτως αὖ πάλιν φημὶ δεῖν, τῆς ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι. τῶν δὲ πανηγυρικῶν λήρων, ὡς πορρωτάτω τοὺς υἱεῖς ἀπάγειν. τὸ γὰρ τοῖς πολλοῖς ἀρέσκειν, τοῖς σοφοῖς ἐστιν ἀπαρέσκειν. μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Εὐριπίδης λέγων· ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον, εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος. οἱ δ' ἐν σοφοῖς φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν. ὁρῶ δ' ἔγωγε τοὺς τοῖς συρφετώδεσιν ὄχλοις ἀρεστῶς καὶ κεχαρισμένως ἐπιτηδεύοντας λέγειν, καὶ τὸν βίον ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας. καὶ νὴ Δί' εἰκότως. εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες ἀμελοῦσι τοῦ καλοῦ. σχολῇ γ' ἂν τὸ ἴδιον τῆς ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω, τὸ ὀρθὸν καὶ ὑγιὲς ποιήσαιντο, ἢ τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ διώξαιεν. πρὸς δὲ τούτοις, τί ἂν τοὺς παῖδας χρηστὸν ἕτερον διδάξαιμεν, καὶ τίσιν ἀγαθοῖς ἐπιτηδεύειν παραινέσαιμεν; καλὸν γάρ τοι μηδὲν εἰκῆ μήτε λέγειν, μήτε πράττειν. καὶ κατὰ τὴν παροι-

ἄκομψος//: inexs.

Universidad de Deusto Biblioteca



: adagium est " χαλεπὰ τὰ καλά. "

τὴν προοιμίαν, χαλεπὰ τὰ καλά. οἱ δ' αὐτοσχέδιοι τῶν λόγων, πολλῆς εὐχερείας καὶ ῥᾳδιουργίας εἰσὶ πλήρεις, οὔτε γὰρ ὅθεν ἀρκτέον, οὔθ' ὅποι παυστέον ἐστὶν εἰδότες, χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων. οἱ αὖ ἐκ τοῦ παραχρῆμα λέγοντες, εἰς ἀμετρίαν δεινὴν ἐμπίπτουσι, καὶ πολυλογίαν. ἡ σκέψις δ' οὐκ ἐᾷ τῆς προσηκούσης συμμετρίας τὸν λόγον ἐκπίπτειν. ὁ Περικλῆς, ὡς ἡμῖν ἀκούειν παραδέδοται, καλούμενος ὑπὸ τοῦ δήμου πολλάκις, οὐχ ὑπήκουσε, λέγων ἀσύντακτος εἶναι. ὡσαύτως δὲ καὶ Δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος, καλούντων αὐτὸν τῶν Ἀθηναίων σύμβουλον, ἀντέβαινεν, οὐ συντέταγμαι, λέγων. καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐστι καὶ πεπλασμένη παράδοσις. ἐν δὲ τῷ κατὰ Μειδίου, τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι. φησὶ γοῦν· ἐγὼ δ' ἐσκέφθαι μὲν, ὦ Ἀθηναῖοι, φημὶ, κοὐκ ἂν ἀρνηθείην, καὶ μεμελετηκέναι γε ὡς οἷόν τ' ἦν μάλιστα ἐμοί. ἦν γὰρ ἂν ἄθλιος ἐγὼ, εἰ τοιαῦτα παθὼν καὶ πάσχων, ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἔμελλον. τὸ δὲ δὴ παντάπασιν ἀποδοκιμάζειν τὴν λόγων τὴν ἑτοιμότητα, ἢ πάλιν αὖ ταύτην οὐκ ἐπ' ἀξίοις ἀσκεῖν, οὐ φαίην ἂν ἔγωγε· ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ, τοῦτο ποιητέον ἐστί. μέχρι μὲν οὖν τῆς ἀνδρείας ἡλικίας, οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν. ἀλλ' ὅταν τις ἐρριζώσῃ τὴν δύναμιν, τότε τοῦτον καιρῶν καλούντων, ἐλευθεριάζειν τοῖς λόγοις προσῆκον. ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεθέντες, κἂν λυθῶσιν ὕστερον, ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας οὐ δυνάμενοι βαδίζειν ὑποσκελίζονται· τὸν αὐτὸν τρόπον, οἱ πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἄν ποτε ἐκ τοῦ παραχρῆμα δεήσειεν εἰπεῖν, οὐδὲν ἧττον τὸν αὐτὸν τῆς ἑρμηνείας χαρακτῆρα φυλάττουσι. τὸ δ' ἔτι παῖδας ὄντας ἐᾶν ἐκ καιροῦ λέγειν, ματαιολογίας τῆς ἐσχάτης αἴτιον καθίσταται. ζωγράφος, φασὶν, ἄθλιος Ἀπελλῇ δείξας εἰκόνα, ταύτην, ἔφη, νῦν γέγραφα. ὁ δὲ, κἂν μὴ λέγῃς, εἶπεν, οἶδα, ὅτι ταχὺ γέγραπται, θαυμάζω δὲ πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας. ὥσπερ τοίνυν, ἐπάνειμι γὰρ πρὸς τὴν ἐξ ἀρχῆς τοῦ λόγου ὑπόθεσιν, τὴν θεατρικὴν καὶ παρατράγῳδον, οὕτως αὖ πάλιν καὶ τὴν σμικρολογίαν τῆς λέξεως καὶ ταπείνωσιν, παραινῶ δεῖν εὐλαβεῖσθαι καὶ φεύγειν. ἡ μὲν γὰρ ὑπέρογκος, ἀπολίτευτός ἐστιν· ἡ δὲ ἰσχνὴ, λίαν ἀνέκπληκτος. καθάπερ δὲ τὸ σῶμα οὐ μόνον ὑγιεινὸν, ἀλλὰ καὶ εὐεκτικὸν εἶναι χρή· οὕτω καὶ τὸν λόγον ὡσαύτως οὐκ ἄνοσον μόνον, ἀλλὰ καὶ εὔρωστον εἶναι δεῖ. τὸ μὲν γὰρ ἀσφαλὲς, ἐπαινεῖται μόνον, τὸ δὲ ἐπικίνδυνον καὶ θαυμάζεται. τὴν δὲ τυγχάνω γνώμην ἔχων, καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως. οὔτε γὰρ θρασὺν, οὔτ' ἄτολμον καὶ καταπλῆγα προσήκει εἶναι. τὸ μὲν γὰρ εἰς ἀναισχυντίαν, τὸ δὲ εἰς ἀνδραποδωδίαν περιίσταται. ἔντεχνον δὲ τὸ τὴν μέσην ἐν ἅπασι τέμνειν ἐμμελέστατα. βούλομαι δ' ἕως ἔτι μέμνημαι τῆς παιδείας, ὡς ἔχω δόξης περὶ αὐτῆς εἰπεῖν. ὅτι τὸν μονόκωλον λόγον, πρῶτον μὲν ἀμουσίας οὐ μικρὸν ποιοῦμαι τεκμήριον, ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον, καὶ παντῃ ἀνεπίμονον εἶναι νομίζω. μονῳδία γὰρ ἐν ἅπασιν ἐστὶ, πλήσμιόν τε καὶ προσκορὲς, ἡ δὲ ποικιλία τερπνόν. καθάπερ καὶ τοῖς ἄλλοις ἅπασιν, οἷον ἀκούσμασιν ἢ θεάμασιν. δεῖ τοίνυν τὸν παῖδα τὸν ἐλεύθερον, μηδενὸς μὴ τῶν ἄλλων τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων, μήτε ἀνήκοον, μήτε ἀθέατον ἐᾶν εἶναι, ἀλλὰ ταῦτα μὲν ἐκ παραδρομῆς μαθεῖν ὥσπερ γεύματος ἕνεκεν, ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον, τὴν δὲ φιλοσοφίαν πρεσβεύειν. ἔχω δὲ δι' εἰκόνος παραστῆσαι τὴν ἐμαυτοῦ γνώμην. ὥσπερ γὰρ τὸ περι-

q harta presto y da fastidio. en solo tocallo ala boca.

παρελθεῖν μὲν πολλὰς πόλεις καλὸν, ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ φιλόσοφος, ὅτι ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι, ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις, οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν, ἐν τοῖς ἄλλοις παιδεύμασι τοῖς οὐδενὸς ἀξίοις, ἑαυτοὺς κατασκελετεύουσι. διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν, τὴν φιλοσοφίαν. περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν διττὰς εὗρον ἐπιστήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν, καὶ τὴν γυμναστικήν· ὧν ἡ μὲν τὴν ὑγείαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. τῶν δὲ τῆς ψυχῆς ἀρρωστημάτων, καὶ παθῶν, ἡ φιλοσοφία μόνη φάρμακόν ἐστι. διὰ γὰρ ταύτην ἐστὶ, καὶ μετὰ ταύτης γνῶναι, τί τὸ καλὸν, τί τὸ αἰσχρὸν, τί τὸ δίκαιον, τί τὸ ἄδικον, τί τὸ συλλήβδην αἱρετὸν, ἢ φευκτὸν, πῶς θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις, πῶς ἀλλοτρίοις, πῶς ἄρχουσι, πῶς φίλοις, πῶς γυναιξὶ, πῶς τέκνοις, πῶς οἰκέταις, χρηστέον ἐστί. ὅτι δεῖ θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν· τὸ δὲ μέγιστον, μήτε ἐν ταῖς εὐπραγίαις περιχαρεῖς, μήτε ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν· μήτε ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι, μήτε ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις, ἅπερ ἐγὼ πάντων τῶν ἐκ φιλοσοφίας περιγινομένων ἀγαθῶν, πρεσβύτατα κρίνω. τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν ἀνδρὸς, τὸ δ' ἀνεπιφθόνως, εὐηνίου ἀνθρώπου· τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν, σοφοῦ· τὸ δὲ ὀργῆς κατακρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος. τελείους δὲ ἀνθρώπους ἡγοῦμαι, τοὺς δυναμένους

τὴν πο-



τὴν πολιτικὴν δύναμιν μῖξαι, καὶ κεράσαι τῇ φιλοσοφίᾳ, καὶ δυοῖν ὄντοιν μεγίστοιν ἀγαθοῖν ἐπηβόλους ὑπάρχειν ὑπολαμβάνω, τοῦ τε κοινωφελοῦς βίου πολιτευομένους, τοῦ τε ἀκύμονος καὶ γαληνοῦ διαβιοῦντας περὶ φιλοσοφίαν. βίων γὰρ ὄντων τριῶν, ὧν ὁ μὲν ἐστὶ πρακτικὸς, ὁ δὲ θεωρητικὸς, ὁ δὲ ἀπολαυστικὸς. ὁ μὲν ἔκλυτος καὶ δοῦλος τῶν ἡδονῶν, ζωώδης καὶ μικροπρεπής ἐστιν. ὁ δὲ θεωρητικὸς τοῦ πρακτικοῦ διαμαρτάνων, ἀνωφελής. ὁ δὲ πρακτικὸς ἀμοιρήσας φιλοσοφίας, ἄμουσος καὶ πλημμελής. πειρατέον οὖν εἰς δύναμιν καὶ τὰ κοινὰ πράττειν, καὶ τῆς φιλοσοφίας ἀντιλαμβάνεσθαι κατὰ τὸ παρεῖκον τῶν καιρῶν. οὕτως ἐπολιτεύσατο Περικλῆς, οὕτως Ἀρχύτας ὁ Ταραντῖνος, οὕτω Δίων ὁ Συρακούσιος, οὕτως Ἐπαμινώνδας ὁ Θηβαῖος, ὧν ἑκάτερος Πλάτωνος ἐγένετο συνουσιαστής. καὶ περὶ μὲν παιδείας, οὐκ οἶδ' ὅ, τι δεῖ πλείονα λέγοντα διατρίβειν. πρὸς δὲ τοῖς εἰρημένοις χρήσιμον, μᾶλλον δὲ ἀναγκαῖόν ἐστι, μηδὲ τῆς τῶν παλαιῶν συγγραμμάτων κτήσεως ὀλιγώρως ἔχειν, ἀλλὰ καὶ ταύτην ποιεῖσθαι συλλογὴν κατὰ τοὺς γεωργοὺς δέ. τὸν αὐτὸν τρόπον, ὄργανον τῆς παιδείας, ἡ χρῆσις τῶν βιβλίων ἐστί, καὶ ἀπὸ πηγῆς τὴν ἐπιστήμην τηρεῖν συμβέβηκεν. οὐ τοίνυν ἄξιον, οὐδὲ τῆς τοῦ σώματος ἀγυμνασίας περιορᾶν, ἀλλὰ πέμποντας ἐς παιδοτρίβου τοὺς παῖδας ἱκανῶς ταῦτα διαπονεῖν, ἅμα μὲν τῆς τοῦ σώματος εὐρυθμίας ἕνεκεν, ἅμα δὲ καὶ πρὸς ῥώμην. καλοῦ γὰρ γήρως θεμέλιον ἐν παισὶν ἡ τῶν σωμάτων εὐεξία. καθάπερ οὖν ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶνα προσήκει παρασκευάζειν, οὕτως ἐν νεότητι τὴν εὐταξίαν καὶ τὴν σωφροσύνην, ἐφόδιον εἰς τὸ γῆρας ἀποτίθεσθαι, οὕτω δεῖ ταμιεύεσθαι τὸν τοῦ σώματος πόνον, ὡς μὴ καταξήρους γινομένους, πρὸς τὴν τῆς παιδείας ἐπιμέλειαν ἀπαγορεύειν. κατὰ γὰρ Πλάτωνα,

ὕπνοι

Ἐπηβόλους legito. hoc est compotes // ὑπάρχειν. idest compotes existere.

laudatur // librorum copia

τηρέω. // perpendo. // observo.

καταξήρος. // aridus.

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



ὕπνοις καὶ πόνοις μαθήμασι πολέμιοι. καὶ τί ταῦτα; ἀλλ' ὃ πάντων ἐστὶ κυριώτατον τῶν εἰρημένων, προσήκει λέγειν. πρὸς γὰρ τοὺς στρατιωτικοὺς ἀγῶνας, τοὺς παῖδας ἀσκητέον, ἐν ἀκοντισμοῖς αὐτοὺς καταβάλλοντας, καὶ τοξείαις, καὶ θήραις· τὰ γὰρ τῶν ἡττωμένων ἐν ταῖς μάχαις ἀγαθά, τοῖς νικῶσιν ἆθλα πρόκειται. πόλεμος δέ, ἐσκιατραφημένην σωμάτων ἕξιν οὐ δέχεται. ἰσχνὸς δὲ στρατιώτης πολεμικῶν ἀγώνων ἐθάς, ἀθλητὰς καὶ πολεμίων φάλαγγας διωθεῖ. τί οὖν ἄν τις εἴποι; σὺ δὲ δὴ περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς ὑπεσχημένος παραδείγματα δώσειν, ἔπειτα φαίνῃ τῆς μὲν τῶν πενήτων καὶ δημοτικῶν παραμελῶν ἀγωγῆς, μόνοις δὲ τοῖς πλουσίοις ὁμολογεῖς τὰς ὑποθήκας διδόναι, πρὸς οὓς οὐ χαλεπὸν ἀπαντῆσαι. ἐγὼ γὰρ μάλιστα ἂν βουλοίμην πᾶσι κοινὴν χρήσιμον εἶναι τὴν ἀγωγήν. εἰ δέ τινες ἐνδεῶς τοῖς ἰδίοις πράττοντες ἀδυνατήσουσι τοῖς ἐμοῖς χρήσασθαι παραγγέλμασι, τὴν τύχην αἰτιάσθωσαν, οὐ τὸν ταῦτα συμβουλεύοντα. πειρατέον μὲν οὖν εἰς δύναμιν, τὴν κρατίστην ἀγωγὴν ποιεῖσθαι τῶν παίδων, καὶ τοῖς πένησιν. εἰ δὲ μή, τῇ γε δυνατῇ χρηστέον. ταῦτα μὲν δὴ τῷ λόγῳ παρεφορτισάμην, ἵν' ἐφεξῆς καὶ τἆλλα τὰ φέροντα πρὸς τὴν ὀρθὴν τῶν νέων ἀγωγὴν συνάψω. κἀκεῖνό φημι. δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν, παραινέσεσι καὶ λόγοις, μὴ μὰ Δία, πληγαῖς, μηδ' αἰκισμοῖς. δοκεῖ γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον, ἢ τοῖς ἐλευθέροις πρέπειν. ἀποναρκῶσι γὰρ καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. ἔπαινοι δὲ καὶ ψόγοι, πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις, οἱ μὲν ἐπὶ τὰ καλὰ παρορμῶντες, οἱ δὲ ἀπὸ τῶν αἰσχρῶν ἀνείργοντες. δεῖ δὲ ἐναλλὰξ καὶ ποικίλως χρῆσθαι ταῖς

ἐθάς. assue//tus.

Saltem

μὴ μὰ Δία // a Jupiter juraplu // [illegible] hic et pla // na 340. [illegible] // no fue christiano // y [illegible] lo [illegible] // [illegible] en tiempo // de [illegible] // [illegible] plana 334 [illegible] // Simile juramentum est plana 338.



θαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις. κἀπειδάν ποτε θρασύνωνται, ταῖς ἐπιπλήξεσιν, ἐν αἰσχύνῃ ποιεῖσθαι, καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις, καὶ μιμεῖσθαι τὰς τίτθας· αἵτινες ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν πάλιν τὸν μαστὸν ὑπέχουσι. δεῖ δὲ αὐτοὺς μηδὲ τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν. χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαίνων καὶ θρύπτονται. ἤδη δέ τινας ἐγὼ εἶδον πατέρας, οἷς τὸ λίαν φιλεῖν, τοῦ μὴ φιλεῖν αἴτιον κατέστη. τί οὖν ἐστιν ὃ βούλομαι λέγειν; ἵνα παραδείγματι φωτεινότερον ποιῶ τὸν λόγον. σπεύδοντες γὰρ τοὺς παῖδας ἐν πᾶσι τάχιον πρωτεῦσαι, πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐμπίπτουσι, καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις, οὐ δέχονται τὴν μάθησιν εὐηνίως. ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται· τὸν αὐτὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δ' ὑπερβάλλουσι βαπτίζεται. δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται. καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη· οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη· οὐδὲ χειμών, ἀλλὰ καὶ εὐδία· οὐδ' ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. συνελόντι δ' εἰπεῖν, ἡ ἀνάπαυσις, τῶν πόνων ἄρτυμά ἐστι. καὶ οὐκ ἐπὶ τῶν ζῴων μόνον τοῦτ' ἴδοι τις γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων. καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν. καθόλου δὲ σώζεται, σῶμα μὲν ἐνδείᾳ καὶ πληρώσει, ψυχὴ δὲ ἀνέσει καὶ πόνῳ. ἄξιον δ' ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἳ παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱεῖς, αὐτοὶ τῆς τούτων μαθήσεως οὔτε αὐτόπται γίνονται παράπαν, οὔτε αὐτήκοοι, πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες. αὐτοὺς

θρύπτω. In minutas // partes seco // facio delica//tus. hinc // θρύψις. deli//cie

ἀπαυδάω. // defatigor

Universidad de Deusto Biblioteca



τοὺς. αὐτοὺς μὲν παρ' ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων, ἀλλὰ μὴ τὰς ἐλπίδας ἔχειν ἐν μισθωτοῦ διαθέσει. καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν τῶν παίδων, μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας. καὶ ταῦθα δὴ τὸ ῥηθὲν ὑπὸ τοῦ ἱπποκόμου χαρίεν. ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον, ὡς βασιλέως ὀφθαλμός. πάντων δὲ μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν. αὕτη γὰρ ὥσπερ τῆς παιδείας ἐστὶ ταμεῖον. καὶ διὰ τοῦτο μητέρα τῶν μουσῶν ἐμυθολόγησαν εἶναι τὴν μνημοσύνην, αἰνιττόμενοι καὶ παραδηλοῦντες ὅτι οὕτως οὐδὲν γεννᾶν καὶ τρέφειν ὡς ἡ μνήμη πέφυκε. καὶ τοίνυν ταύτην κατ' ἀμφότερα ἀσκητέον, εἴτε ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τοὐναντίον ἐπιλήσμονες. τὴν μὲν πλεονεξίαν τῆς φύσεως ἐπιῤῥώσομεν, τὴν δ' ἔλλειψιν ἀναπληρώσομεν. καὶ οἱ μὲν τῶν ἄλλων ἔσονται βελτίους, οἱ δ' ἑαυτῶν. τὸ γὰρ ἡσιόδειον καλῶς εἴρηται· εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο, καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο. μὴ λανθανέτω τοίνυν μηδὲ τοῦτο τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος, οὐ μόνον πρὸς τὴν παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν. ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίνεται παράδειγμα. καὶ μέν τοι καὶ τῆς αἰσχρολογίας ἀπακτέον τοὺς υἱεῖς. λόγος γὰρ ἔργου σκιή, κατὰ δημόκριτον. εἶτα γε μὴν ἐντευκτικοὺς αὐτοὺς εἶναι παρασκευαστέον καὶ φιλοπροσηγόρους. οὐδὲν γὰρ ὡς τὰ ἀνέντευκτα τῶν ἠθῶν ἐστιν ἀξιομίσητα. ἔτι τοίνυν οἱ παῖδες ἀμισεῖς γίγνοιντ' ἂν τοῖς συνοῦσι, μὴ παντελῶς ἐν ταῖς ζητήσεσιν ἀπαραχώρητοι γιγνόμενοι. οὐ γὰρ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλόν, ἐν οἷς τὸ νικᾶν βλα-

βερόν.

: de poco en poco //

f en la doctrina // del maesso alquy // lado

: f laus memorie.

f πλεονεξία. f ἔλλειψις.

f ἡσίοδος ὁ // ποιητής.

: partem. est q // μοῖρα. par // ca. pars. offici // um. Acies. // tribus.

f ἐντεύξις. la // buena conbersa // cion. congre // ssus et collo quio // cuz bulgo. la // buena criança



βερόν. ἔστι γὰρ ὡς ἀληθῶς καὶ νίκη καδμεία. ἔχω δὲ μάρτυρα τούτων εὐριπίδην τὸν σοφὸν ἐπαγαγέσθαι, λέγοντα· δυοῖν λεγόντοιν θατέρου θυμουμένου, ὁ μὴ ἀντιτείνων τοῖς λόγοις, σοφώτερος. ἃ τοίνυν τῶν εἰρημένων οὐδενός ἧττόν ἐστιν, ἀλλὰ καὶ μᾶλλον ἐπιτηδευτέα τοῖς νέοις, καὶ δὴ λεκτέον. ταῦτα δέ ἐστι τὸ βίον ἄτυφον ἀσκεῖν, καὶ τὴν γλῶτταν κατέχειν, καὶ τῆς ὀργῆς ὑπεράνω γίγνεσθαι, καὶ τῶν χειρῶν κρατεῖν. τούτων ἕκαστον ἡλίκον ἐστὶ σκεπτέον. ἔσται δὲ ἐπὶ παραδειγμάτων γνωριμώτερα, δι' ἵνα ἀπὸ τοῦ τελευταίου πρῶτον ἄρξωμαι, τὰς χεῖρας τινὲς ὑποσχόντες λήμμασιν ἀδίκοις, τὴν δόξαν τῶν προβεβιωμένων ἐξέχεαν, ὡς γύλιππος ὁ λακεδαιμόνιος τὰ σακκία τῶν χρημάτων παραλύσας, φυγὰς ἀπηλάθη τῆς σπάρτης. τό γε μὴν ἀόργητον, ἀνδρός ἐστιν σοφοῦ. σωκράτης μὲν γὰρ λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδελυροῦ, τοὺς ἀμφ' αὐτὸν ὁρῶν ἀγανακτοῦντας καὶ σφαδάζοντας, ὡς καὶ διώκειν αὐτὸν ἐθέλειν, ἆρα ἔφησε καὶ εἴ με ὄνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτον ἠξιώσατε ἄν; οὐ μὴν ἐκεῖνός γε παντελῶς κατεπεπράξατο. πάντων δὲ αὐτὸν ὀνειδιζόντων, καὶ λακτιστὴν ἀποκαλούντων, ἀπήγξατο. ἀριστοφάνους δὲ ὅτε τὰς νεφέλας ἐξέφερε, παντοίως πᾶσαν ὕβριν αὐτοῦ κατασκεδαννύντος, καί τινος τῶν παρόντων, τὰ τοιαῦτα ἀνακωμῳδοῦντος, οὐκ ἀγανακτεῖς εἰπόντος ὦ σώκρατες; μὰ δί' οὐκ ἔγωγε ἔφησεν, ὡς γὰρ ἐν συμποσίῳ μεγάλῳ τῷ θεάτρῳ σκώπτομαι. ἀδελφὰ τούτοις καὶ σύζυγα φανήσονται πεποιηκότες, ἀρχύτας ὁ ταραντῖνος καὶ πλάτων. ὁ μὲν γὰρ ἐπανελθὼν ἀπὸ τοῦ πολέμου, στρατηγῶν δ' ἐτύγχανε, γῆν καταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς,

/in cultam\

ὤμωξας

: νίκη καδ // μεία. est que // victori constat // vita. vide chilia // deo του ἔρασμου.

: τρυφή. ῆς. // delicie

: a ganancias // malas.

: pdiciendo y mal // gastando.

Universidad de Deusto Biblioteca



ὤμωξας ἄν, ἔφησεν, εἰ μὴ λίαν ὠργιζόμην. Πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδελυρῷ θυμωθεὶς, τὸν τῆς ἀδελφῆς υἱὸν Σπεύσιππον καλέσας, τοῦτον ἔφησεν ἀπελθὼν κρότησον, ἐγὼ γὰρ πάνυ θυμοῦμαι. χαλεπὰ δὲ ταῦτα καὶ δυσμίμητα, φαίη τις ἄν. οἶδα κἀγώ. πειρατέον οὖν εἰς ὅσον οἷόν τέ ἐστι, τούτοις παραδείγμασι χρωμένους, τὸ πολὺ τῆς ἀκράτου καὶ μαινομένης ὑφαιρεῖν ὀργῆς. οὐδὲ γὰρ οὐδὲ τἄλλα ἐνάμιλλοι ταῖς ἐκείνων ἐσμὲν, οὔτ᾽ ἐμπειρίαις, οὔτε καλοκαγαθίαις. ἀλλ᾽ οὐδὲν ἧττον ἐκείνων ὥσπερ θεῶν ἱεροφάνται καὶ δᾳδοῦχοι τῆς σοφίας ὄντες, ὅσα περ ἐστὶν ἐν δυνατῷ, ταῦτα μιμεῖσθαι καὶ περικνίζειν ἐπιχειροῦμεν. τὸ τοίνυν τῆς γλώττης κρατεῖν, περὶ τούτου γὰρ ὥσπερ ὑπεθέμην εἰπεῖν λοιπόν. εἴ τις μικρὸν καὶ φαῦλον ὑπείληφε, πλεῖστον διαμαρτάνει τοῦ δέοντος. σοφὸν γὰρ εὔκαιρος σιγὴ, καὶ παντὸς λόγου κρεῖττον. καὶ διὰ τοῦτό μοι δοκοῦσι τὰς μυστηριώδεις τελετὰς οἱ παλαιοὶ καταδεῖξαι, ἵνα ἐν ταύταις σιωπᾶν ἐθισθέντες, ἐπὶ τὴν τῶν ἀνθρωπίνων μυστηρίων πίστιν, τὸν ἀπὸ τῶν θεῶν μεταφέρωμεν φόβον. καὶ γὰρ αὖ, σιωπήσας μὲν οὐδεὶς μετενόησε, λαλήσαντες δὲ παμπληθεῖς. καὶ τὸ μὲν σιγηθὲν, ἐξειπεῖν ῥᾴδιον· τὸ δὲ ῥηθὲν, ἀναλαβεῖν ἀδύνατον. μυρίους δὲ ἔγωγε οἶδα ἀκούσας ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας, διὰ τὴν τῆς γλώττης ἀκρασίαν. ὧν τοὺς ἄλλους παραλιπὼν, ἑνὸς ἢ δυοῖν, τύπου ἕνεκα, ἐπιμνησθήσομαι. τὸν γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην, Σωτάδης εἰπὼν, εἰς οὐχ ὁσίην ζυμαλίαν τὸ κέντρον ὠθεῖς, ἐν δεσμωτηρίῳ πολλοὺς κατεσάπη χρόνους, καὶ τῆς ἀκαίρου λαλιᾶς οὐ μεμπτὴν ἔδωκε δίκην. ἵνα δὲ γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔκλαυσεν. ἐνάμιλλα δὲ τούτοις καὶ σύζυγα, καὶ Θεόκριτος ὁ σοφιστὴς εἶπέ τε καὶ



Speusippus era sobrino de platon, hijo de su hermana.

κροτέω. percutio. vel plaudo.

ἱεροφάνται.

κνίζω. frico.

λοιπόν. forte

por exemplo.

Σωτάδης. nomen viri alicuius.

ζυμαλίαν. Simile verbum lucae evangeliste cap. 18 et matthei 19 ubi legitur τρυμαλία τῆς ῥαφίδος. por el ojo del aguja de coser.



ἔπαθε καὶ πολὺ δεινότερα. Ἀλεξάνδρου γὰρ πορφυρᾶς ἐσθῆτας κελεύσαντος κατασκευάζειν τοὺς Ἕλληνας, ἵνα ἐπανελθὼν τὰ ἐπινίκια τοῦ πολέμου τοῦ κατὰ τῶν βαρβάρων, θύσειε· καὶ τῶν ἐθνῶν κατὰ κεφαλὴν εἰσφερόντων τὸ ἀργύριον, πρότερον μὲν ἔφησεν, ἠμφισβήτουν, νῦν δὲ ᾔσθημαι σαφῶς, ὅτι ὁ πορφύρεος ὁμήρου θάνατος, οὗτός ἐστιν. ἐξ ὧν ἐχθρὸν ἐκτήσατο τὸν Ἀλέξανδρον. Ἀντίγονον δὲ τὸν βασιλέα τῶν Μακεδόνων ἑτερόφθαλμον ὄντα, τὴν πήρωσιν προφέρων, εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. τὸν γὰρ ἀρχιμάγειρον Εὐτροπίωνα γεγενημένον ἐν τάξει παρακαλεῖσθαι πρὸς αὐτὸν ἠξίου, καὶ λόγον δοῦναι καὶ λαβεῖν. ταῦτα δὲ ἀπαγγέλλοντος ἐκείνου πρὸς αὐτὸν, καὶ πολλάκις προσιόντος, εὖ οἶδα ἔφησεν, ὅτι ὠμόν με θέλεις τῷ Κύκλωπι παραθέσθαι, ὀνειδίζων, τῷ μὲν ὅτι πηρὸς, τῷ δὲ ὅτι μάγειρος ἦν. κἀκεῖνος τοιγαροῦν εἰπὼν, τὴν κεφαλὴν οὐχ ἕξεις, ἀλλὰ τῆς ἀθυροστομίας ταύτης καὶ μανίας δώσεις δίκην, ἀπήγγειλε τὰ εἰρημένα τῷ βασιλεῖ. ὁ δὲ μὲν πέμψας, ἀνεῖλε τὸν Θεόκριτον. πρὸ πάντων δὲ ταῦτα, ὅπερ ἐστὶν ἱεροπρεπέστατον, συνεθιστέον τοὺς παῖδας τἀληθῆ λέγειν. τὸ γὰρ ψεύδεσθαι, δουλοπρεπὲς, καὶ πᾶσιν ἀνθρώποις μισεῖσθαι ἄξιον, καὶ οὐδὲ μετρίοις δούλοις συγγνωστόν. ταῦτα μὲν οὖν οὐκ ἐνδοιάσας, οὐδὲ μελλήσας, περὶ τῆς τῶν παίδων εὐκοσμίας καὶ σωφροσύνης διείλεγμαι. περὶ δὲ τῶν ῥηθήσεσθαι μελλόντων, ἀμφίδοξός εἰμι καὶ διχογνώμων. καὶ τῇδε κἀκεῖσε κλίνων ὡς ἐπὶ πλάστιγγος, πρὸς οὐδέτερον ῥέπειν δύναμαι. πολὺς δ᾽ ὄκνος ἔχει με, καὶ τῆς εἰσηγήσεως, καὶ τῆς ἀποτροπῆς τοῦ πράγματος. ἀποτολμητέον δ᾽ οὖν ὅμως εἰπεῖν αὐτό. τί οὖν τοῦτό ἐστι; πότερα δεῖ τοὺς ἐρῶντας τῶν παίδων, ἐᾶν τούτοις συνεῖναι καὶ συνδιατρί-



προφέρω. obiicio.

πηρός. ceco vel mutilatus. o tuerto

a dezir verdad.

ἐνδοιάζω. dubito.

πλάστιγξ. γος. lanx. trutina. vt plana. 223.

Universidad de Deusto
Biblioteca



βεῖν, ἢ τοὐναντίον εἴργειν αὐτοὺς καὶ ἀποσοβεῖν τῆς πρὸς τοὺς τοὺς ὁμιλίας προσήκει. ὅταν μὲν γὰρ ἀποβλέψω πρὸς τοὺς πατέρας αὐθεκάστους, καὶ τὸν τρόπον ὀμφακίας καὶ στρυφνούς, οἳ διὰ τὴν τῶν τέκνων ὕβριν οὐκ ἀνεκτὴν νομίζουσι τὴν τῶν ἐρώντων ὁμιλίαν, εὐλαβοῦμαι ταύτης εἰσηγητὴς γενέσθαι καὶ σύμβουλος. ὅταν δ' αὖ πάλιν ἐνθυμηθῶ τὸν Σωκράτην, τὸν Πλάτωνα, τὸν Ξενοφῶντα, τὸν Αἰσχίνην, τὸν Κέβητα, τὸν πάντα χορὸν ἐκείνων τῶν ἀνδρῶν, οἳ τοὺς ἄρρενας ἐδοκίμασαν ἔρωτας, καὶ τὰ μειράκια προήγαγον ἐπί τε παιδείαν καὶ δημαγωγίαν, καὶ τὴν ἀρετὴν τῶν τρόπων, πάλιν ἕτερος γίνομαι, καὶ κάμπτομαι πρὸς τὸν ἐκείνων τῶν ἀνδρῶν ζῆλον. μαρτυρεῖ δὲ τούτοις Εὐριπίδης οὕτω λέγων· ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως, ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς. οὐ δὴ τοῦ Πλάτωνος οὐδὲ τὸ σὺν χαριεντισμῷ μεμιγμένον, οὐ παραλειπτέον. ἐξεῖναι γάρ φησι δεῖν τοῖς ἀριστεύσασιν, ὧν ἂν βούλωνται τῶν καλῶν φιλῆσαι. τοὺς μὲν οὖν τῆς ὥρας ἐπιθυμοῦντας, ἀπελαύνειν προσήκει. τοὺς δὲ τῆς ψυχῆς ἐραστάς, ἐγκρίνειν κατὰ τὸ σύνολον. καὶ τοὺς μὲν Θήβῃσι, καὶ τοὺς Ἤλιδι, φευκτέον ἔρωτας, καὶ τὸν ἐκ Κρήτης καλούμενον ἁρπαγμόν. τοὺς δὲ Ἀθήνῃσι καὶ τοὺς ἐν Λακεδαίμονι ζηλωτέον, καὶ τὸν παίδων μιμητέον. περὶ μὲν οὖν τούτων, ὅπως ἕκαστος αὐτὸς ἑαυτὸν πέπεικεν, οὕτως ὑπολαμβανέτω. ἐγὼ δ' ἐπειδὴ περὶ τῆς τῶν παίδων εὐταξίας εἴρηκα καὶ κοσμιότητος, καὶ ἐπὶ τὴν μειρακίων τὴν ἡλικίαν ἤδη μεταβήσομαι, μικρὰ πάνυ τὰ πᾶσιν εἰπών. πολλάκις γὰρ κατεμεμψάμην τοὺς μοχθηρῶν ἐθῶν γεγονότας εἰσηγητάς, οἵτινες τοῖς μὲν παισὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐπέστησαν, τὴν δὲ τῶν μειρακίων ὁρμὴν ἄνετον

εἴασαν

l αὐθέκαστος. // inconsultus.
l ὀμφακίας. ου. ὁ crudus // acerbus.
l στρυφνός. ου. // ὁ. acerbus. rigidus. faciens // obstupescere dentes.
l ganimedes fuit // to sublatus a // Jove. p aquilaz. // vel forte de euro // pa intelligit
l ζυμωθ..



εἴασαν νέμεσθαι. δέον αὖ τοὐναντίον πλείω ποιεῖσθαι τούτων εὐλάβειαν καὶ φυλακήν, ἢ τῶν παίδων. τίς γὰρ οὐκ οἶδεν, ὅτι τὰ μὲν τῶν παίδων πλημμελήματα, μικρὰ καὶ παντελῶς ἐστιν ἰάσιμα, παιδαγωγῶν ἴσως ὀλιγωρία, καὶ διδασκάλων παραγωγῆς ἀνηκουστία. τὰ δὲ τῶν ἤδη νεανισκευομένων ἀδικήματα, πολλάκις ὑπέρφυᾶ γίνεται καὶ σχέτλια, ἀμετρία γαστρός, καὶ κλοπαὶ πατρῴων χρημάτων, καὶ κύβοι, καὶ κῶμοι, καὶ πότοι, καὶ παρθένων ἔρωτες, καὶ γυναικῶν οἰκοφθορίαι γαμετῶν. οὐκοῦν τὰς τούτων ὁρμάς, ταῖς ἐπιμελείαις δεσμεύειν καὶ κατέχειν προσήκει. ἀταμίευτον γὰρ τῶν ἡδονῶν ἡ ἀκμή, καὶ σκιρτητικόν, καὶ χαλινοῦ δεόμενον, ὥσθ' οἱ μὴ τῆς ἡλικίας ταύτης ἐρρωμένως ἀντιλαμβανόμενοι, τῇ διανοίᾳ διδόντες ἐξουσίαν ἐπὶ τὰ ἀδικήματα λανθάνουσι. δεῖ τοίνυν τοὺς ἔμφρονας πατέρας, παρὰ τοῦτον μάλιστα τὸν καιρὸν φυλάττειν, ἐγρηγορέναι, σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας, δεομένους, συμβουλεύοντας, ὑπισχνουμένους, παραδείγματα δεικνύντας. τῶν μὲν διὰ φιληδονίαν συμφοραῖς περιπεσόντων, διὰ δὲ καρτερίαν, ἔπαινον καὶ δόξαν ἀγαθὴν περιποιησαμένων. δύο γὰρ ταῦτα ὡσπερεὶ στοιχεῖα τῆς ἀρετῆς ἐστιν, ἐλπίς τε τιμῆς, καὶ φόβος τιμωρίας. ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων, ἡ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. καὶ καθόλου δὲ ἀπείργειν προσήκει τοὺς παῖδας, τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας. ἀποφέρονται γάρ τι τῆς τούτων κακίας. τοῦτο δὲ παρήγγελλε καὶ Πυθαγόρας

l οὐκοῦν. pen. acuto acentu est. non igitur sed cum circum flexo sonat // igitur affirmative

 αἰνίγμασι

αἰνίγματα τοῦ πυθαγόρου.

αἰνίγμασιν. ἅπερ ἐγὼ παραθεὶς, ἐξηγήσομαι. καὶ γὰρ ταῦτα πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην. οἷον μὴ γεύεσθαι μελανούρων. τουτέστι μὴ συνδιατρίβειν μέλασιν ἀνθρώποις διὰ κακοήθειαν. μὴ ζυγὸν ὑπερβαίνειν. ὅτι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποιεῖσθαι λόγον, καὶ μὴ ταύτην ὑπερβαίνειν. μηδ' ἐπὶ χοίνικος καθίσαι, φεύγειν ἀργίαν, καὶ προνοεῖν ὅπως τὴν ἀναγκαίαν παρασκευασόμεθα τροφήν. μὴ παντὶ ἐμβάλλειν δεξιάν, ἀντὶ τοῦ, οὐ προχείρως δεῖ συναλλάττειν. μὴ φορεῖν στενὸν δακτύλιον, ὅτι δεῖ τὸν βίον ἄνετον ἐπιτηδεύειν, καὶ μὴ δεσμῷ προσάπτειν αὐτόν. πῦρ σιδήρῳ μὴ σκαλεύειν, ἀντὶ τοῦ μὴ ἐρεθίζειν θυμούμενον. οὐ γὰρ προσήκει, ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις. μὴ ἐσθίειν καρδίαν. μὴ βλάπτειν τὴν ψυχὴν, ταῖς φροντίσιν αὐτὴν κατατρύχοντα. κυάμων ἀπέχεσθαι, ὅτι οὐ δεῖ πολιτεύεσθαι. κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφορίαι, δι' ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς. σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν. ἐπισημαίνεται γὰρ, ὅτι εἰς πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσήκει. ὁ γὰρ λόγος, τροφὴ διανοίας ἐστί. τοῦτον δὲ ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας. τουτέστι μέλλοντας ἀποθνήσκειν, καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας, φέρειν εὐκόλως, καὶ μὴ ἀθυμεῖν. ἐπανάξομαι δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου πρόθεσιν. ἁπάντων μὲν γὰρ, ὅπερ ἔφην, τῶν πονηρῶν ἀνθρώπων, ἀπάγειν δεῖ τοὺς παῖδας, μάλιστα δὲ τῶν κολάκων. ὅπερ γὰρ πολλάκις καὶ πρὸς πολλοὺς τῶν πατέρων διατελῶν λέγω, καὶ νῦν ἂν εἴποιμι. γένος οὐδέν ἐστιν ἐξωλέστατον, οὐδὲ μᾶλλον καὶ θᾶττον ἐκτραχηλίζον τὴν νεότητα, ὡς τὸ τῶν κολάκων, οἳ καὶ τοὺς πατέρας

χοῖνιξ. κος. no estribar en su hazienda. pensando q̃ tiene de comer y renta

la comida no se halla en el original.



καὶ τοὺς παῖδας, προρρίζους ἐκτρίβουσι, τῶν μὲν τὸ γῆρας ἐπίλυπον, τῶν δὲ τὴν νεότητα ποιοῦντες, τῶν δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδονήν. τοῖς παισὶ τοῖς πλουσίοις οἱ πατέρες νήφειν παραινοῦσιν, οἱ δὲ μεθύειν. σωφρονεῖν, οἱ δὲ ἀσελγαίνειν. φυλάττειν, οἱ δὲ δαπανᾶν. φιλεργεῖν, οἱ δὲ ῥαθυμεῖν. στιγμὴ χρόνου πᾶς ὁ βίος ἐστὶ, λέγοντες, ζῆν δεῖ οὐ πράττειν προσήκει. τί δὲ φροντιστέον ἡμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν; κρονόληρος καὶ σοροδαίμων ἐστὶ, καὶ μετέωρος αὐτὸν ἀράμενοι, τὴν ταχίστην ἐξοισόμεθα. καὶ θῆκε δέ τις καὶ χαμαιτύπην, καὶ προηγόρευσε γαμετὴν, καὶ τὰ τῶν πατέρων ἐφόδια τοῦ γήρως περιέκοψε, καὶ σεσύληκε. μιαρὸν τὸ φῦλον, ὑποκριταὶ φιλίας, ἄγευστοι παρρησίας, πλουσίων μὲν κόλακες, πενήτων δὲ ὑπερόπται, ὡς ἐκ λυρικῆς τέχνης ἐπὶ τοὺς νέους ἀγόμενοι, σεσηρότες, ὅτ' οἱ τρέφοντες γελῶσι. ψυχῆς ὑποβολιμαῖα, καὶ νόθα μέρη βίου. πρὸς δὲ τὸ τῶν πλουσίων νεῦμα ζῶντες, τῇ τύχῃ μὲν ἐλεύθεροι, τῇ προαιρέσει δὲ δοῦλοι. ὅταν δὲ μὴ ὑβρίζωνται, τότε ὑβρίζεσθαι δοκοῦντες, ὅτι μὴ μάτην παρατρέφονται. ὥστε εἴ τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας, ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα. ἐκδιωκτέον δὲ, καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας. καὶ γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί. ταῦτα μὲν οὖν καλὰ καὶ συμφέροντα. ἃ δὲ μέλλω λέγειν, ἀνθρώπινα. οὐδὲ γὰρ αὖ πάλιν τοὺς πατέρας ἔγωγ' ἀξιῶ τελέως σκληροὺς εἶναι καὶ τραχεῖς τὴν φύσιν, ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τι τῷ νεωτέρῳ τῶν ἁμαρτημάτων, καὶ ἑαυτοὺς ἀναμιμνήσκειν, ὅτι ἐγένοντο νέοι. καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρ-

tristez

kenterra ... ἐκφέρω.

Universidad de Deusto
Biblioteca



τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύντες, τὴν τέρψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον, οὕτω δεῖ τοὺς πατέρας τὴν τῶν ἐπιτιμημάτων ἀποτομίαν, τῇ πρᾳότητι μιγνύναι. καὶ ποτὲ μὲν ταῖς ἐπιθυμίαις τῶν παίδων ἀφιέναι, καὶ χαλᾶν τὰς ἡνίας, ποτὲ δ' αὖ πάλιν ἀντιτείνειν, καὶ μάλιστα μὲν εὐκόλως φέρειν τὰς ἁμαρτίας. εἰ δὲ μή γε, προσοργισθέντας ταχέως ἀποφλεγμῆναι. μᾶλλον γὰρ ὀξύθυμον εἶναι δεῖ τὸν πατέρα, ἢ βαρύθυμον. ὡς τό γε δυσμενὲς καὶ δυσκατάλλακτον, μισοτεκνίας οὐ μικρὸν τεκμήριόν ἐστι. καλὸν δὲ ἔνια τῶν ἁμαρτημάτων μηδὲ εἰδέναι δοκεῖν, ἀλλὰ τὸ τοῦ γήρως ἀμβλυωπὸν καὶ δύσκωφον, ἐπὶ τὰ γιγνόμενα μεταφέρειν, ὡς ἔνια τῶν πραττομένων ὁρῶντας μὴ ὁρᾶν, καὶ μὴ ἀκούειν ἀκούοντας. φίλων ἁμαρτήματα φέρομεν. τί θαυμαστὸν, εἰ τέκνων; δούλων πολλάκις κραιπαλώντων μέθην οὐκ ἐξηλέγξαμεν. ἐφείσω ποτέ, ἀλλὰ καὶ χορήγησον. ἠγανάκτησάς ποτε, ἀλλὰ καὶ συγγνῶθι. ἐξηπάτησέ ποτε δι' οἰκέτου, τὴν ὀργὴν κατάσχες. ἐξ ἀγροῦ ποτε ζεῦγος ἀφείλετο, ἦλθέ ποτε χθιζῆς μέθης ἀποπνέων, ἀγνόησον. μύρων ἀπόζων, σίγησον. οὕτω σκιρτῶσα νεότης πωλοδαμνεῖται. πειρατέον δὲ τοὺς τῶν ἡδονῶν ἥττους καὶ πρὸς τὰς ἐπιτιμήσεις δυσηκόους, γάμῳ καταζεῦξαι. δεσμὸς γὰρ οὗτος τῆς νεότητος ἀσφαλέστατος. ἐγγυᾶσθαι δὲ δεῖ τοῖς υἱοῖς γυναῖκας, μήτε εὐγενεστέρας πολλῷ, μήτε πλουσιωτέρας. τὸ γὰρ τὴν κατὰ σαυτὸν ἔλα, σοφὸν, ὡς οἵ γε μακρῷ κρείττους ἑαυτῶν λαμβάνοντες, οὐ τῶν γυναικῶν ἄνδρες, τῶν δὲ προικῶν δοῦλοι λανθάνουσι γινόμενοι. βραχέα δὲ προσθεὶς αὐτοῖς περιγράψω τὰς ὑποθήκας. πρὸ πάντων γὰρ δεῖ τοὺς

πατέρας



πατέρας αὐτοὺς μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα ἃ δεῖ πράττειν, ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον ὥσπερ κάτοπτρον ἀποβλέποντες, ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων. ὡς οἵτινες τοῖς ἁμαρτάνουσιν υἱοῖς ἐπιτιμῶντες, τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν, ἐπὶ τῷ ἐκείνων ὀνόματι λανθάνουσιν ἑαυτῶν κατήγοροι γιγνόμενοι. οἱ δ' ὅλως φαύλως ζῶντες, οὐδὲ τοῖς δούλοις παρρησίαν ἄγουσιν ἐπιτιμᾶν, μή τί γε δὴ τοῖς υἱοῖς. χωρὶς δὲ τούτων, γένοιντο ἂν αὐτοῖς τῶν ἀδικημάτων σύμβουλοι καὶ διδάσκαλοι. ὅπου γὰρ γέροντές εἰσιν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. πειρατέον οὖν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν, πάνθ' ὅσα προσῆκεν ἐπιτηδεύειν, ζηλώσαντας τὴν Εὐρυδίκην, ἥτις Ἰλλυρὶς οὖσα καὶ τρισβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας. ἱκανῶς δὲ αὐτῆς τὴν φιλοτεκνίαν σημαίνει τοὐπίγραμμα, ὅπερ ἀνέθηκε Μούσαις·

Εὐρυδίκη Ἱρὰ πολιῆτις, τόνδ' ἀνέθηκε Μούσαις εὔιστον ψυχῇ ἑλοῦσα πόθον. γράμματα γὰρ μνημεῖα λόγων μήτηρ γεγαυῖα παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν.

τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν, εὐχῆς ἴσως ἢ παραινέσεως ἔργον ἐστί. τὸ δὲ τὰς πλείους ζηλῶσαι, καὶ αὐτὸ μὲν εὐμοιρίας δεόμενον, ἔτι καὶ πολλῆς ἐπιμελείας, ἀνυστὸν δ' ἀνθρωπίνῃ φύσει καθέστηκεν.

efficax et co(n)ducibile

ΤΕΛΟΣ.

BASILEAE, PER IOannem Heruagium, 1550.

p antonius calosinus
grecar dominus [illegible]
[illegible] lopez de leon capellan de los [illegible]
en la Sta yglesia de Toledo.
a. 2. de febr. de 1583

Universidad de Deusto
Biblioteca

Πυθαγωρας λεγετεειην

ΑΙΣΩΠΟΥ ΤΟΥ ΜΥ
ΘΟΠΟΙΟΥ ΒΙΟΣ ΜΑΞΙΜΩ

pigmio che pignimi - μ . pigso . Ad . epigon ,





Universidad de Deusto
Biblioteca

Universidad de Deusto
Biblioteca